GREEK SERIES · VOLUME 51

# The Acharnians, Peace, and Lysistrata

Aristophanes


# ΑΧΑΡΝΗΣ
# ΕΙΡΗΝΗ
# ΛΥΣΙΣΤΡΑΤΗ

*The Acharnians, Peace, and Lysistrata*

---

with a word-for-word interlinear English translation

preserving the original word order





CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0




Volume 51 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows F. W. Hall and W. M. Geldart's
Oxford Aristophanes, second edition (1906–07)

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Lines the editors seclude are not printed.

CONTENTS

THE ACHARNIANS

I · The Assembly . . . . . 9
II · The Acharnians Give Chase . . . . . 24
III · The Rural Dionysia . . . . . 26
IV · The Hostage . . . . . 29
V · The Visit to Euripides . . . . . 34
VI · The Speech over the Block . . . . . 44
VII · The Parabasis . . . . . 54
VIII · The Megarian . . . . . 60
IX · The Happy Man . . . . . 69
X · The Boeotian . . . . . 71
XI · The Informer Packed . . . . . 76
XII · Lamachus' Servant . . . . . 79
XIII · Reconciliation . . . . . 80
XIV · The Pitchers . . . . . 82
XV · Arms and the Feast . . . . . 87
XVI · The Return . . . . . 94
XVII · Exit . . . . . 98

PEACE

I · The Dung Beetle . . . . . 101
II · The Chorus Gathers . . . . . 122
III · Peace Is Hauled Out . . . . . 125
IV · Harvest and Holiday . . . . . 146
V · The Parabasis . . . . . 151
VI · Holiday Delivered . . . . . 157
VII · The Sacrifice . . . . . 165
VIII · The Farmer's Pleasures . . . . . 180
IX · The Arms Dealers . . . . . 185
X · The Wedding Song . . . . . 193

LYSISTRATA

I · The Oath . . . . . 201
II · Fire and Water . . . . . 219
III · The Magistrate . . . . . 230
IV · The Debate . . . . . 236
V · The Magistrate's Exit . . . . . 250
VI · The Choruses Strip . . . . . 251
VII · Deserters . . . . . 257
VIII · Melanion and Timon . . . . . 262
IX · Cinesias and Myrrhine . . . . . 265
X · The Choruses Reconciled . . . . . 279
XI · The Treaty . . . . . 282
XII · The Celebration . . . . . 294

ARISTOPHANES

# ΑΧΑΡΝΗΣ

*The Acharnians*

## I · THE ASSEMBLY

*Dicaeopolis waits alone at dawn on the Pnyx, ready to heckle any speaker who talks of anything but peace. The immortal Amphitheus is dragged off for offering to make peace with Sparta. Envoys return from the Great King with Pseudartabas, the King's Eye, whose gibberish promises no gold, and Dicaeopolis pays Amphitheus eight drachmas for a private truce. Theorus' Odomantian mercenaries steal his garlic, and the assembly breaks up. Amphitheus returns chased by Acharnian veterans; Dicaeopolis tastes the five-, ten-, and thirty-year treaties and takes the thirty.*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,
*how-much indeed I-have-been-bitten the of-myself heart*
ἥσθην δὲ βαιά, πάνυ δὲ βαιά, τέτταρα·
*I-was-pleased and little very and little four*
ἃ δ' ὠδυνήθην, ψαμμακοσιογάργαρα.
*what-things and I-was-pained sand-hundred-heaps*
φέρ' ἴδω, τί δ' ἥσθην ἄξιον χαιρηδόνος;
*come let-me-see what and I-was-pleased worthy of-gladjoy*
ἐγῷδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδών,
*I-know at which at-least the heart I-was-cheered seeing*
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.
*the five talents which Cleon vomited-up*
ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
*these how I-was-brightened and I-love the knights*
διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.
*because-of this the-deed worthy for to-Greece*
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν,
*but I-was-pained another in-turn tragic*
ὅτε δὴ 'κεχήνη προσδοκῶν τὸν Αἰσχύλον,
*when indeed I-was-gaping expecting — Aeschylus*

ὁ δ' ἀνεῖπεν, εἴσαγ' ὦ Θέογνι τὸν χορόν.
*he and proclaimed bring-in O Theognis the chorus*
πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;
*how this shook of-me you-think the heart*
ἀλλ' ἕτερον ἥσθην, ἡνίκ' ἐπὶ Μόσχῳ ποτὲ
*but another I-was-pleased when after Moschus once*
Δεξίθεος εἰσῆλθ' ᾄσόμενος Βοιώτιον.
*Dexitheus came-in to-sing Boeotian*
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδών,
*this-year and I-died and was-twisted seeing*
ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.
*when indeed peeped-in Chaeris for the orthian*
ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι
*but never since which I wash*
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς
*so I-was-bitten by lye the brows*
ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
*as now when being regular assembly*
ἑωθινῆς ἔρημος ἡ πνὺξ αὑτηί,
*at-dawn empty the Pnyx this-here*
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι κἄνω καὶ κάτω
*they and in market chatter and-up and down*
τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.
*the rope they-flee the reddened*
οὐδ' οἱ πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίαν
*not-even the prytanes have-come but at-a-late-hour*
ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς
*coming then and they-will-jostle how you-think*
ἐλθόντες ἀλλήλοισι περὶ πρώτου ξύλου,
*having-come with-one-another for first bench*

ἀθρόοι καταρρέοντες· εἰρήνη δ' ὅπως
*in-a-crowd streaming-down peace and how*
ἔσται προτιμῶσ' οὐδέν· ὦ πόλις πόλις.
*will-be they-care-for nothing O city city*
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
*I and always very-first to assembly*
νοστῶν κάθημαι· κᾆτ' ἐπειδὰν ὦ μόνος,
*coming I-sit and-then when I-am alone*
στένω κέχηνα σκορδινῶμαι πέρδομαι,
*I-groan I-gape I-stretch I-fart*
ἀπορῶ γράφω παρατίλλομαι λογίζομαι,
*I-am-at-a-loss I-scribble I-pluck-my-hair I-reckon*
ἀποβλέπων ἐς τὸν ἀγρὸν εἰρήνης ἐρῶν,
*gazing to the country for-peace longing*
στυγῶν μὲν ἄστυ τὸν δ' ἐμὸν δῆμον ποθῶν,
*hating indeed town the and my deme yearning-for*
ὃς οὐδεπώποτ' εἶπεν, ἄνθρακας πρίω,
*which never said charcoal buy*
οὐκ ὄξος οὐκ ἔλαιον, οὐδ' ᾔδει "πρίω,"
*not vinegar not oil nor knew buy*
ἀλλ' αὐτὸς ἔφερε πάντα χὠ πρίων ἀπῆν.
*but itself bore all-things and-the buyer was-absent*
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
*now then simply I-have-come prepared*
βοᾶν ὑποκρούειν λοιδορεῖν τοὺς ῥήτορας,
*to-shout to-interrupt to-abuse the speakers*
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
*if anyone other-thing except about peace speaks*
ἀλλ' οἱ πρυτάνεις γὰρ οὑτοὶ μεσημβρινοί.
*but the prytanes for these-here at-noon*

οὐκ ἠγόρευον; τοῦτ᾽ ἐκεῖν᾽ οὑγὼ ᾽λεγον·
*not did-I-say this that which-I said*

ἐς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται.
*to the front-seats every man jostles*

ΚΗΡΥΞ πάριτ᾽ ἐς τὸ πρόσθεν,
*pass-on to the front*

πάριθ᾽, ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.
*pass-on so-that — inside you-may-be the purified-ground*

ΑΜΦΙΘΕΟΣ ἤδη τις εἶπε; ΚΗΡΥΞ τίς ἀγορεύειν βούλεται;
*already someone said who to-speak wishes*

ΑΜΦΙΘΕΟΣ ἐγώ. ΚΗΡΥΞ τίς ὤν; ΑΜΦΙΘΕΟΣ Ἀμφίθεος.
*I who being Amphitheus*

ΚΗΡΥΞ οὐκ ἄνθρωπος; ΑΜΦΙΘΕΟΣ οὔ,
*not human no*

ἀλλ᾽ ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν
*but immortal — for Amphitheus of-Demeter was*

καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸς γίγνεται·
*and of-Triptolemus of-this and Celeus is-born*

γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν,
*marries and Celeus Phaenarete grandmother my*

ἐξ ἧς Λυκῖνος ἐγένε᾽· ἐκ τούτου δ᾽ ἐγὼ
*from whom Lycinus was-born from this and I*

ἀθάνατός εἰμ᾽· ἐμοὶ δ᾽ ἐπέτρεψαν οἱ θεοὶ
*immortal I-am to-me and entrusted the gods*

σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
*truce to-make with Lacedaemonians alone*

ἀλλ᾽ ἀθάνατος ὢν ὦνδρες ἐφόδι᾽ οὐκ ἔχω·
*but immortal being O-men travel-money not I-have*

οὐ γὰρ διδόασιν οἱ πρυτάνεις. ΚΗΡΥΞ οἱ τοξόται.
*not for they-give the prytanes the archers*

ΑΜΦΙΘΕΟΣ ὦ Τριπτόλεμε καὶ Κελεὲ περιόψεσθέ με;
*O Triptolemus and Celeus will-you-overlook me*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὦνδρες πρυτάνεις ἀδικεῖτε τὴν ἐκκλησίαν
*O-men prytanes you-wrong the assembly*
τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
*the man leading-off who for-us was-willing*
σπονδὰς ποιεῖσθαι καὶ κρεμάσαι τὰς ἀσπίδας.
*truce to-make and to-hang-up the shields*
ΚΗΡΥΞ κάθησο, σῖγα. ΔΙΚΑΙΟΠΟΛΙΣ μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
*sit-down silence by — Apollo I indeed not*
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
*if not about peace at-least you-put-the-question for-me*
ΚΗΡΥΞ οἱ πρέσβεις οἱ παρὰ βασιλέως.
*the envoys the from king*
ΔΙΚΑΙΟΠΟΛΙΣ ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσιν
*what king I-am-vexed I with-envoys*
καὶ τοῖς ταῶσι τοῖς τ' ἀλαζονεύμασιν.
*and the peacocks the and impostures*
ΚΗΡΥΞ σίγα. ΔΙΚΑΙΟΠΟΛΙΣ βαβαιάξ. ὦκβάτανα τοῦ σχήματος.
*silence bless-me O-Ecbatana the get-up*
ΠΡΕΣΒΥΣ ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν
*you-sent us to king the great*
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
*pay drawing two drachmas the day*
ἐπ' Εὐθυμένους ἄρχοντος. ΔΙΚΑΙΟΠΟΛΙΣ οἴμοι τῶν δραχμῶν.
*under Euthymenes archon ah-me the drachmas*
ΠΡΕΣΒΥΣ καὶ δῆτ' ἐτρυχόμεσθα διὰ Καϋστρίων
*and then we-were-worn-out through Caystrian*
πεδίων ὁδοιπλανοῦντες ἐσκηνημένοι,
*plains wandering-the-road under-awnings*

ἐφ᾽ ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
*on covered-wagons softly lying*
ἀπολλύμενοι. ΔΙΚΑΙΟΠΟΛΙΣ σφόδρα γὰρ ἐσῳζόμην ἐγὼ
*perishing much for was-safe I*
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος.
*beside the battlement in rubbish lying*
ΠΡΕΣΒΥΣ ξενιζόμενοι δὲ πρὸς βίαν ἐπίνομεν
*being-entertained and by force we-drank*
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
*from crystal cups and gold-ones*
ἄκρατον οἶνον ἡδύν. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Κραναὰ πόλις
*unmixed wine sweet O Cranaan city*
ἆρ᾽ αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;
*— do-you-perceive the mockery of-the envoys*
ΠΡΕΣΒΥΣ οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
*the barbarians for men consider only*
τοὺς πλεῖστα δυναμένους καταφαγεῖν καὶ πιεῖν.
*those most able to-eat-down and to-drink*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἡμεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.
*we and cocksuckers both and buggers*
ἔτει τετάρτῳ δ᾽ ἐς τὰ βασίλει᾽ ἤλθομεν·
*in-year fourth and to the palace we-came*
ἀλλ᾽ εἰς ἀπόπατον ᾤχετο στρατιὰν λαβών,
*but to privy he-had-gone army having-taken*
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
*and-was-shitting eight months on golden hills*
ΔΙΚΑΙΟΠΟΛΙΣ πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
*in-how-much and the ass time did-he-close*

ΠΡΕΣΒΥΣ τῇ πανσελήνῳ· κᾆτ' ἀπῆλθεν οἴκαδε.
*at-the full-moon and-then he-went-off home*

εἶτ' ἐξένιζε· παρετίθει δ' ἡμῖν ὅλους
*then he-entertained served and to-us whole*

ἐκ κριβάνου βοῦς. ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ τίς εἶδε πώποτε
*from oven oxen and who saw ever*

βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.
*oxen oven-baked the impostures*

ΠΡΕΣΒΥΣ καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
*and yes by Zeus bird thrice-the-size of-Cleonymus*

παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ φέναξ.
*he-served to-us name and was to-it cheat*

ΔΙΚΑΙΟΠΟΛΙΣ ταῦτ' ἄρ' ἐφενάκιζες σὺ δύο δραχμὰς φέρων.
*this then were-cheating you two drachmas drawing*

ΠΡΕΣΒΥΣ καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
*and now bringing we-have-come Pseudartabas*

τὸν βασιλέως ὀφθαλμόν. ΔΙΚΑΙΟΠΟΛΙΣ ἐκκόψειέ γε
*the of-king eye may-knock-out at-least*

κόραξ πατάξας, τόν τε σὸν τοῦ πρέσβεως.
*raven striking the and your of-the envoy*

ΚΗΡΥΞ ὁ βασιλέως ὀφθαλμός. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦναξ Ἡράκλεις.
*the of-king eye O-lord Heracles*

πρὸς τῶν θεῶν ἄνθρωπε ναύφαρκτον βλέπεις;
*by the gods man warship you-look*

ἢ περὶ ἄκραν κάμπτων νεώσοικον σκοπεῖς;
*or round headland rounding shipshed you-watch*

ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
*oarport-leather you-have perhaps around the eye below*

ΠΡΕΣΒΥΣ ἄγε δὴ σὺ βασιλεὺς ἅττα σ' ἀπέπεμψεν φράσον
*come now you king what-things you sent tell*
λέξοντ' Ἀθηναίοισιν ὦ Ψευδαρτάβα.
*to-say to-Athenians O Pseudartabas*
ΨΕΥΔΑΡΤΑΒΑΣ ἰαρταμὰν ἐξάρξαν ἀπισσόνα σάτρα.
*iartaman exarxan apissona satra*
ΠΡΕΣΒΥΣ ξυνήκαθ' ὃ λέγει;
*did-you-understand what he-says*
ΔΙΚΑΙΟΠΟΛΙΣ μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
*by — Apollo I indeed not*
ΠΡΕΣΒΥΣ πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
*will-send king he-says to-you gold*
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.
*say now you louder and clearly the gold*
ΨΕΥΔΑΡΤΑΒΑΣ οὐ λῆψι χρῦσο χαυνόπρωκτ' Ἰαοναῦ.
*not get gold wide-ass Ionian*
ΔΙΚΑΙΟΠΟΛΙΣ οἴμοι κακοδαίμων ὡς σαφῶς.
*ah-me ill-starred how clearly*
ΠΡΕΣΒΥΣ τί δ' αὖ λέγει;
*what and in-turn says*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὅ τι; χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
*what thing wide-asses the Ionians he-calls*
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
*if they-expect gold from the barbarians*
ΠΡΕΣΒΥΣ οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
*no but bushels this-man at-least of-gold says*
ΔΙΚΑΙΟΠΟΛΙΣ ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
*what bushels you indeed impostor are great*
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
*but go-away I and will-question this-one alone*

ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς πρὸς τουτονί,
*come now you tell me clearly before this-here*
ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν·
*so-that not you I-dye dye Sardian*
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον; (ἀνανεύει.)
*king the great to-us will-send gold he-nods-no*
ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων; (ἐπινεύει.)
*for-nothing then we-are-deceived by the envoys he-nods-yes*
Ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοί, 115
*Greek-fashion at-least nodded the-men these-here*
κοὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
*and-not it-is how not they-are from-here from-the-spot*
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
*and of-the indeed eunuchs the one this-here*
ἐγῷδ' ὅς ἐστι, Κλεισθένης ὁ Σιβυρτίου.
*I-know who he-is Cleisthenes the of-Sibyrtius*
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε,
*O hot-plotting ass shaven*
τοιόνδε γ' ὦ πίθηκε τὸν πώγων' ἔχων 120
*such at-least O ape the beard having*
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
*eunuch to-us you-came got-up*
ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;
*this-here and who ever is not surely Straton*
ΚΗΡΥΞ σίγα, κάθιζε.
*silence sit-down*
τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
*the of-king eye the council invites*

εἰς τὸ πρυτανεῖον. ΔΙΚΑΙΟΠΟΛΙΣ ταῦτα δῆτ' οὐχ ἀγχόνη;
*to the prytaneum this then not hanging*

κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι;
*and-then I then here dawdle*

τοὺς δὲ ξενίζειν οὐδέποτέ γ' ἴσχει θύρα.
*them and to-entertain never at-least holds-back door*

ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
*but I-will-do some terrible deed and great*

ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν; ΑΜΦΙΘΕΟΣ οὑτοσὶ πάρα.
*but Amphitheus for-me where is this-here is-here*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς
*for-me you these-here having-taken eight drachmas*

σπονδὰς ποίησαι πρὸς Λακεδαιμονίους μόνῳ
*truce make with Lacedaemonians alone*

καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι·
*and the children and the wife*

ὑμεῖς δὲ πρεσβεύεσθε καὶ κεχήνετε.
*you and go-on-embassies and gape*

ΚΗΡΥΞ προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους. ΘΕΩΡΟΣ ὁδί.
*let-come-forward Theorus the from Sitalces this-here*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἕτερος ἀλαζὼν οὗτος ἐσκηρύττεται.
*another impostor this is-heralded-in*

ΘΕΩΡΟΣ χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν —
*time indeed not — we-would-have-been in Thrace long*

ΔΙΚΑΙΟΠΟΛΙΣ μὰ Δί' οὐκ ἄν, εἰ μισθόν γε
*by Zeus not — if pay at-least*

μὴ 'φερες πολύν.
*not you-were-drawing much*

ΘΕΩΡΟΣ εἰ μὴ κατένειψε χιόνι τὴν Θρᾴκην ὅλην
*if not had-snowed with-snow — Thrace whole*
καὶ τοὺς ποταμοὺς ἔπηξ', ὑπ' αὐτὸν τὸν χρόνον,
*and the rivers froze about the-very the time*
ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
*when here Theognis was-competing*
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον·
*this with Sitalces I-was-drinking the time*
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
*and then Athens-loving he-was extraordinarily*
ὑμῶν τ' ἐραστὴς ἦν ἀληθὴς ὥστε καὶ
*of-you and lover was true so-that even*
ἐν τοῖσι τοίχοις ἔγραφ', Ἀθηναῖοι καλοί.
*on the walls he-wrote Athenians beautiful*
ὁ δ' υἱός, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
*the and son whom Athenian we-had-made*
ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
*longed to-eat sausages from Apaturia*
καὶ τὸν πατέρ' ἠντεβόλει βοηθεῖν τῇ πάτρᾳ·
*and the father he-begged to-help the fatherland*
ὁ δ' ὤμοσε σπένδων βοηθήσειν ἔχων
*he and swore pouring-libation to-help having*
στρατιὰν τοσαύτην ὥστ' Ἀθηναίους ἐρεῖν,
*army so-great that Athenians to-say*
ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.
*what-a the thing of-locusts approaches*
ΔΙΚΑΙΟΠΟΛΙΣ κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι
*most-vilely may-I-perish if any of-these I-believe*
ὧν εἶπας ἐνταυθοῖ σὺ πλὴν τῶν παρνόπων.
*which you-said here you except the locusts*

ΘΕΩΡΟΣ καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
*and now which most-warlike of-Thracians race*
ἔπεμψεν ὑμῖν. ΔΙΚΑΙΟΠΟΛΙΣ τοῦτο μέν γ' ἤδη σαφές.
*he-sent to-you this indeed at-least already clear*
ΚΗΡΥΞ οἱ Θρᾷκες ἴτε δεῦρ', οὓς Θέωρος ἤγαγεν.
*the Thracians come here whom Theorus brought*
ΔΙΚΑΙΟΠΟΛΙΣ τουτὶ τί ἐστι τὸ κακόν;
*this-here what is the evil*
ΘΕΩΡΟΣ Ὀδομάντων στρατός.
*of-Odomantians army*
ΔΙΚΑΙΟΠΟΛΙΣ ποίων Ὀδομάντων; εἰπέ μοι τουτὶ τί ἦν;
*what Odomantians tell me this-here what was*
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;
*who of-the Odomantians the cock has-stripped*
ΘΕΩΡΟΣ τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
*to-these if one two drachmas pay gives*
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.
*they-will-overrun — Boeotia whole*
ΔΙΚΑΙΟΠΟΛΙΣ τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
*to-these-here two drachmas the circumcised*
ὑποστένοι μέντἂν ὁ θρανίτης λεὼς
*would-groan however the top-bench folk*
ὁ σωσίπολις. οἴμοι τάλας ἀπόλλυμαι,
*the city-saving ah-me wretched I-am-ruined*
ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.
*by the Odomantians the garlic being-plundered*
οὐ καταβαλεῖτε τὰ σκόροδ'; ΘΕΩΡΟΣ ὦ μόχθηρε σὺ
*not will-you-throw-down the garlic O wretch you*
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.
*not — you-will-approach these garlic-primed*

ΔΙΚΑΙΟΠΟΛΙΣ ταυτὶ περιείδεθ' οἱ πρυτάνεις πάσχοντά με
*this-here did-you-overlook the prytanes suffering me*
ἐν τῇ πατρίδι καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
*in the fatherland and that by men barbarian*
ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
*but I-forbid not to-hold assembly*
τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν ὅτι
*for-the Thracians about pay I-say and to-you that*
διοσημία 'στὶ καὶ ῥανὶς βέβληκέ με.
*portent is and drop has-struck me*
ΚΗΡΥΞ τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην.
*the Thracians to-depart to-be-present and on day-after-next*
οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.
*the for prytanes dissolve the assembly*
ΔΙΚΑΙΟΠΟΛΙΣ οἴμοι τάλας μυττωτὸν ὅσον ἀπώλεσα.
*ah-me wretched salad how-much I-lost*
ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.
*but from Lacedaemon for Amphitheus this-here*
χαῖρ' Ἀμφίθεε. ΑΜΦΙΘΕΟΣ μήπω γε πρίν γ' ἂν στῶ τρέχων·
*hail Amphitheus not-yet at-least before at-least — I-stop running*
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.
*must for me fleeing to-escape Acharnians*
ΔΙΚΑΙΟΠΟΛΙΣ τί δ' ἔστ';
*what and is-it*
ΑΜΦΙΘΕΟΣ ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
*I indeed here for-you truce bringing*
ἔσπευδον· οἱ δ' ὤσφροντο πρεσβῦταί τινες
*was-hurrying they and smelled old-men some*
Ἀχαρνικοί, στιπτοὶ γέροντες πρίνινοι
*Acharnian tough old-men holm-oak*

ἀτεράμονες Μαραθωνομάχαι σφενδάμνινοι.
*unyielding Marathon-fighters maple*

ἔπειτ' ἀνέκραγον πάντες, ὦ μιαρώτατε
*then shouted all O foulest*

σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων;
*truce you-bring the vines cut-down*

κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων·
*and-into the cloaks they-gathered of-the stones*

185 ἐγὼ δ' ἔφευγον· οἱ δ' ἐδίωκον κἀβόων.
*I and fled they and chased and-shouted*

ΔΙΚΑΙΟΠΟΛΙΣ οἱ δ' οὖν βοώντων· ἀλλὰ τὰς σπονδὰς φέρεις;
*they and then let-them-shout but the truce you-bring*

ΑΜΦΙΘΕΟΣ ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.
*I-at-least say three at-least these-here samples*

αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών.
*these indeed are five-year taste having-taken*

ΔΙΚΑΙΟΠΟΛΙΣ αἰβοῖ. ΑΜΦΙΘΕΟΣ τί ἔστιν;
*ugh what is-it*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἀρέσκουσίν μ' ὅτι
*not they-please me because*

190 ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
*they-smell of-pitch and of-fitting of-ships*

ΑΜΦΙΘΕΟΣ σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
*you and but these-here the ten-year taste having-taken*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὄζουσι χαὗται πρέσβεων ἐς τὰς πόλεις
*smell and-these of-envoys to the cities*

ὀξύτατον ὥσπερ διατριβῆς τῶν ξυμμάχων.
*sharpest as-if of-delay of-the allies*

ΑΜΦΙΘΕΟΣ ἀλλ᾽ αὗταὶ σπονδαὶ τριακοντούτιδες
*but these-here truces thirty-year*
κατὰ γῆν τε καὶ θάλατταν. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Διονύσια,
*by land both and sea O Dionysia*
αὗται μὲν ὄζουσ᾽ ἀμβροσίας καὶ νέκταρος
*these indeed smell of-ambrosia and of-nectar*
καὶ μὴ ᾽πιτηρεῖν σιτί᾽ ἡμερῶν τριῶν,
*and not to-watch-for rations of-days three*
κἀν τῷ στόματι λέγουσι, βαῖν᾽ ὅπῃ θέλεις.
*and-in the mouth they-say go where you-wish*
ταύτας δέχομαι καὶ σπένδομαι κἀκπίομαι,
*these I-accept and pour-libation and-drink-up*
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας.
*to-fare-well bidding much the Acharnians*
ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
*I and from-war and evils released*
ἄξω τὰ κατ᾽ ἀγροὺς εἰσιὼν Διονύσια.
*I-will-keep the in fields going-in Dionysia*
ΑΜΦΙΘΕΟΣ ἐγὼ δὲ φευξοῦμαί γε τοὺς Ἀχαρνέας.
*I and will-flee at-least the Acharnians*

## II · THE ACHARNIANS GIVE CHASE

*The chorus of old Acharnian charcoal-burners storms in hunting the man who carried the truce. They lament the legs they had in their youth, when the man could never have outrun them, and vow to pursue him land by land, since he has made peace with the enemies who cut down their vines. Hearing a call for holy silence, they hide to watch him come out to sacrifice.*

ΧΟΡΟΣ τῇδε πᾶς ἕπου δίωκε καὶ τὸν ἄνδρα πυνθάνου
*this-way everyone follow pursue and the man inquire-about*

τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
*of-the wayfarers all for-the city for worthy*

ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύσατε,
*to-seize the man this but to-me reveal*

εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.
*if anyone knows whither has-turned of-earth the the truce bringing*

ἐκπέφευγ', οἴχεται φροῦδος. οἴμοι τάλας
*he-has-escaped he-is-gone vanished ah-me wretched*

τῶν ἐτῶν τῶν ἐμῶν·
*the years the my*

οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ'
*not — in my at-least youth when*

ἐγὼ φέρων ἀνθράκων φορτίον
*I carrying of-charcoal load*

ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ
*kept-up-with Phayllus running so lightly — the*

σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος
*truce-bearer this by me then being-pursued*

ἐξέφυγεν οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.
*would-have-escaped nor — lightly — would-have-straddled-off*

νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον,
*now and since stiff already the-my shin*
καὶ παλαιῷ Λακρατείδῃ τὸ σκέλος βαρύνεται,
*and for-old Lacrateides the leg is-heavy*
οἴχεται. διωκτέος δέ· μὴ γὰρ ἐγχάνῃ ποτὲ
*he-is-gone he-must-be-pursued and not for may-he-mock ever*
μηδέ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας.
*not-even though old being having-escaped Acharnians*
ὅστις ὦ Ζεῦ πάτερ καὶ θεοὶ τοῖσιν ἐχθροῖσιν ἐσπείσατο,
*who O Zeus father and gods with-the enemies made-truce*
οἷσι παρ' ἐμοῦ πόλεμος ἐχθοδοπὸς
*against-whom from me war hateful*
αὔξεται τῶν ἐμῶν χωρίων·
*grows for-the my lands*
κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
*and-not I-will-let-go before — reed in-them I-fix-in-return*
ὀξὺς ὀδυνηρὸς ∗∗∗ ἐπίκωπος, ἵνα
*sharp painful (lacuna) oar-handled so-that*
μήποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.
*never they-tread still the my vines*
ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν βαλληνάδε
*but one-must to-seek the man and to-look pelt-town-ward*
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτέ·
*and to-pursue land before land until — he-is-found at-last*
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.
*since I pelting him not — could-be-filled with-stones*
ΔΙΚΑΙΟΠΟΛΙΣ εὐφημεῖτε, εὐφημεῖτε.
*keep-holy-silence keep-holy-silence*

ΧΟΡΟΣ σῖγα πᾶς. ἠκούσατ' ἄνδρες ἆρα τῆς εὐφημίας;
*silence everyone did-you-hear men — the holy-silence*
οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
*this himself is whom we-seek but here everyone*
ἐκποδών· θύσων γὰρ ἀνὴρ ὡς ἔοικ' ἐξέρχεται.
*out-of-the-way to-sacrifice for the-man as it-seems comes-out*

## III · THE RURAL DIONYSIA

*Dicaeopolis leads his household's little procession for the Rural Dionysia: his daughter carries the basket, Xanthias holds the phallus upright, and his wife watches from the roof. He prays that the truce may turn out well and sings to Phales, companion of Bacchus, rejoicing that after six years he is home in his deme, free of battles and Lamachuses.*

ΔΙΚΑΙΟΠΟΛΙΣ εὐφημεῖτε, εὐφημεῖτε.
*keep-holy-silence keep-holy-silence*
προΐτω 'ς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
*let-go-forward to the front a-little the basket-bearer*
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
*— Xanthias the phallus upright let-set*
κατάθου τὸ κανοῦν ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.
*set-down the basket O daughter so-that we-may-begin*
ΘΥΓΑΤΗΡ ὦ μῆτερ ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
*O mother hand-up here the soup-ladle*
ἵν' ἔτνος καταχέω τοὐλατῆρος τουτουί.
*so-that soup I-may-pour over-the-cake this-here*
ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ μὴν καλόν γ' ἔστ'· ὦ Διόνυσε δέσποτα
*and truly fine at-least it-is O Dionysus master*
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
*pleasingly to-you this the procession me*

πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν
*having-led and having-sacrificed with the household*
ἀγαγεῖν τυχηρῶς τὰ κατ᾽ ἀγροὺς Διονύσια,
*to-keep luckily the in fields Dionysia*
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δέ μοι
*from-service released the truce and for-me*
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
*well to-turn-out the thirty-year*
ἄγ᾽ ὦ θύγατερ ὅπως τὸ κανοῦν καλὴ καλῶς
*come O daughter see-that the basket pretty prettily*
οἴσεις βλέπουσα θυμβροφάγον. ὡς μακάριος
*you-carry looking savory-eating how blessed*
ὅστις σ᾽ ὀπύσει κἀκποιήσεται γαλᾶς
*whoever you will-wed and-will-beget weasels*
σοῦ μηδὲν ἧττους βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
*than-you nothing inferior to-fart when dawn is*
πρόβαινε, κἀν τῷχλῳ φυλάττεσθαι σφόδρα
*step-forward and-in the-crowd to-beware much*
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
*lest someone unnoticed of-you nibble-off the gold-trinkets*
ὦ Ξανθία, σφῷν δ᾽ ἐστὶν ὀρθὸς ἑκτέος
*O Xanthias by-you-two and is upright to-be-held*
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
*the phallus behind the basket-bearer*
ἐγὼ δ᾽ ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
*I and following will-sing the phallic-song*
σὺ δ᾽ ὦ γύναι θεῶ μ᾽ ἀπὸ τοῦ τέγους. πρόβα.
*you and O woman watch me from the roof step-forward*
Φαλῆς ἑταῖρε Βακχίου
*Phales comrade of-Bacchus*

ξύγκωμε νυκτοπεριπλάνητε
*fellow-reveler night-roaming*

μοιχὲ παιδεραστά,
*adulterer boy-lover*

ἕκτῳ σ᾽ ἔτει προσεῖπον ἐς
*in-sixth you year I-greet to*

τὸν δῆμον ἐλθὼν ἄσμενος,
*the deme having-come gladly*

σπονδὰς ποιησάμενος ἐμαυτῷ,
*truce having-made for-myself*

πραγμάτων τε καὶ μαχῶν
*from-troubles both and battles*

καὶ Λαμάχων ἀπαλλαγείς.
*and Lamachuses released*

πολλῷ γάρ ἐσθ᾽ ἥδιον, ὦ Φαλῆς Φαλῆς,
*much for it-is sweeter O Phales Phales*

κλέπτουσαν εὑρόνθ᾽ ὡρικὴν ὑληφόρον
*stealing having-found ripe wood-carrier*

τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως
*the of-Strymodorus Thracian-girl from — Phelleus*

μέσην λαβόντ᾽ ἄραντα καταβαλόντα
*by-the-middle having-taken having-lifted having-thrown-down*

καταγιγαρτίσ᾽ ὦ
*to-de-pip O*

Φαλῆς Φαλῆς.
*Phales Phales*

ἐὰν μεθ᾽ ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
*if with us you-drink-together after hangover*

ἕωθεν εἰρήνης ῥοφήσει τρύβλιον·
*at-dawn of-peace you-will-gulp bowl*
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.
*the and shield in the sparks will-hang*

## IV · THE HOSTAGE

*The Acharnians fall on Dicaeopolis with stones, calling him a traitor who alone made peace with Sparta, and refuse to hear him. He offers to speak for the Spartans with his head on a chopping block, then seizes a hostage: a basket of charcoal, their fellow demesman. At once they beg him to spare it, shake the stones from their cloaks, and agree to listen.*

ΧΟΡΟΣ οὗτος αὐτός ἐστιν, οὗτος.
*this himself is this*
βάλλε βάλλε βάλλε βάλλε,
*pelt pelt pelt pelt*
παῖε παῖε τὸν μιαρόν.
*strike strike the foul*
οὐ βαλεῖς; οὐ βαλεῖς;
*not will-you-pelt not will-you-pelt*
ΔΙΚΑΙΟΠΟΛΙΣ Ἡράκλεις τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.
*Heracles this-here what is the pot you-will-smash*
ΧΟΡΟΣ σὲ μὲν οὖν καταλεύσομεν ὦ μιαρὰ κεφαλή.
*you indeed rather we-will-stone O foul head*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀντὶ ποίας αἰτίας ὠχαρνέων γεραίτατοι;
*for what cause O-of-Acharnians eldest*
ΧΟΡΟΣ τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρὸς
*this you-ask shameless you-are and loathsome*
ὦ προδότα τῆς πατρίδος, ὅστις ἡμῶν μόνος
*O traitor of-the fatherland who of-us alone*

σπεισάμενος εἶτα δύνασαι πρὸς ἔμ' ἀποβλέπειν.
*having-made-truce then you-can to me to-look*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀντὶ δ' ὧν ἐσπεισάμην οὐκ ἴστε. μἀλλ' ἀκούσατε.
*for and what I-made-truce not you-know nay-but hear*

295 ΧΟΡΟΣ σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ·
*you at-least shall-we-hear you-will-die*

κατά σε χώσομεν τοῖς λίθοις.
*down you we-will-bury with-the stones*

ΔΙΚΑΙΟΠΟΛΙΣ μηδαμῶς πρὶν ἄν γ' ἀκούσητ'·
*by-no-means before — at-least you-hear*

ἀλλ' ἀνάσχεσθ' ὦγαθοί.
*but bear-up good-sirs*

ΧΟΡΟΣ οὐκ ἀνασχήσομαι· μηδὲ λέγε μοι σὺ λόγον·
*not I-will-bear-up nor say to-me you speech*

300 ὡς μεμίσηκά σε Κλέωνος ἔτι μᾶλλον, ὃν ἐγὼ
*since I-hate you than-Cleon still more whom I*

κατατεμῶ ποθ' ἱππεῦσι καττύματα.
*will-cut-up some-day for-knights shoe-leather*

σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς,
*you and I speeches making not will-hear long*

ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
*who made-truce with-Laconians but I-will-punish*

305 ΔΙΚΑΙΟΠΟΛΙΣ ὦγαθοὶ τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε,
*good-sirs the indeed Laconians out-of-the-way let-be*

τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλῶς ἐσπεισάμην.
*the and my truce hear if well I-made-truce*

ΧΟΡΟΣ πῶς δέ γ' ἂν καλῶς λέγοις ἄν,
*how and at-least — well could-you-speak —*
εἴπερ ἐσπείσω γ' ἅπαξ
*if-indeed you-made-truce at-least once*
οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει;
*with-whom neither altar nor faith nor oath abides*
ΔΙΚΑΙΟΠΟΛΙΣ οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
*know I also the Laconians whom too-much we-press*
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.
*not of-all being to-us to-blame the troubles*
ΧΟΡΟΣ οὐχ ἁπάντων ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
*not of-all O villain this indeed you-dare to-say*
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;
*openly now to us then I you will-spare*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὐχ ἁπάντων, οὐχ ἁπάντων· ἀλλ' ἐγὼ λέγων ὁδὶ
*not of-all not of-all but I speaking here*
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους.
*many-things — I-could-show them there-are which also-wronged*
ΧΟΡΟΣ τοῦτο τοὔπος δεινὸν ἤδη καὶ ταραξικάρδιον,
*this the-word terrible now and heart-troubling*
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.
*if you will-dare for the enemies to-us to-speak*
ΔΙΚΑΙΟΠΟΛΙΣ κἄν γε μὴ λέγω δίκαια μηδὲ τῷ πλήθει δοκῶ,
*and-if at-least not I-speak just-things nor to-the people seem*
ὑπὲρ ἐπιξήνου 'θελήσω τὴν κεφαλὴν ἔχων λέγειν.
*over chopping-block I-will-be-willing the head having to-speak*
ΧΟΡΟΣ εἰπέ μοι τί φειδόμεσθα τῶν λίθων ὦ δημόται
*tell me why do-we-spare the stones O demesmen*
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;
*not not to-card the man this into crimson-cloak*

ΔΙΚΑΙΟΠΟΛΙΣ οἷον αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.
*what in-turn black some in-you ember boiled-up*
οὐκ ἀκούσεσθ'; οὐκ ἀκούσεσθ' ἐτεὸν ὦχαρνηίδαι;
*not will-you-hear not will-you-hear really O-Acharnians*
ΧΟΡΟΣ οὐκ ἀκουσόμεσθα δῆτα.
*not we-will-hear then*
ΔΙΚΑΙΟΠΟΛΙΣ δεινά τἄρα πείσομαι.
*terrible-things then-surely I-will-suffer*
ΧΟΡΟΣ ἐξολοίμην, ἢν ἀκούσω. ΔΙΚΑΙΟΠΟΛΙΣ μηδαμῶς ὦχαρνικοί.
*may-I-perish if I-hear by-no-means O-Acharnians*
325 ΧΟΡΟΣ ὡς τεθνήξων ἴσθι νυνί. ΔΙΚΑΙΟΠΟΛΙΣ δήξομἄρ' ὑμᾶς ἐγώ.
*as about-to-die know now I-will-bite-then you I*
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους·
*I-will-kill-in-return for of-you the friends the dearest*
ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.
*since I-have at-least of-you hostages whom I-will-slaughter having-taken*
ΧΟΡΟΣ εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος ἄνδρες δημόται
*tell me what this threatens the-word men demesmen*
τοῖς Ἀχαρνικοῖσιν ἡμῖν; μῶν ἔχει του παιδίον
*the Acharnian to-us surely-not has-he of-someone child*
330 τῶν παρόντων ἔνδον εἴρξας; ἢ 'πὶ τῷ θρασύνεται;
*of-the present inside having-shut or on what is-he-bold*
ΔΙΚΑΙΟΠΟΛΙΣ βάλλετ' εἰ βούλεσθ'. ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
*pelt if you-wish I for this-here will-destroy*
εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.
*I-will-know and of-you soon who for-charcoal at-all cares*
ΧΟΡΟΣ ὡς ἀπωλόμεσθ'. ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.
*how we-are-lost the basket demesman this is my*
ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις· μηδαμῶς ὦ μηδαμῶς.
*but not do what you-intend by-no-means O by-no-means*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὡς ἀποκτενῶ, κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούσομαι.
*since I-will-kill shout I for not will-hear*

ΧΟΡΟΣ ἀπολεῖς ἄρ' ὁμήλικα τόνδε φιλανθρακέα;
*you-will-kill then age-mate this charcoal-lover*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐδ' ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.
*nor me speaking you just-now heard*

ΧΟΡΟΣ ἀλλὰ γὰρ νῦν λέγ', εἴ σοι δοκεῖ, τόν τε Λακεδαιμόνιον
*but for now speak if to-you it-seems the and Lacedaemonian*

†αὐτὸν ὅτι τῷ† τρόπῳ σοὐστὶ φίλος·
*him what in-the manner to-you-is dear*

ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.
*since this the little-basket not I-will-betray ever*

ΔΙΚΑΙΟΠΟΛΙΣ τοὺς λίθους νύν μοι χαμᾶζε πρῶτον ἐξεράσατε.
*the stones now for-me to-the-ground first pour-out*

ΧΟΡΟΣ οὑτοί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.
*these-here for-you on-the-ground and you lay-down back the sword*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν
*but see-that not in the cloaks*

ἐγκάθηνταί που λίθοι.
*are-sitting somewhere stones*

ΧΟΡΟΣ ἐκσέσεισται χαμᾶζ'· οὐχ ὁρᾷς σειόμενον;
*it-is-shaken-out to-the-ground not you-see being-shaken*

ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.
*but not to-me excuse but lay-down the weapon*

ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίγνεται.
*since this at-least shaken with the whirl becomes*

## V · THE VISIT TO EURIPIDES

*Fearing the jurors' temper, and remembering how Cleon hauled him before the Council over last year's comedy, Dicaeopolis resolves to dress as pitiably as possible. He knocks at Euripides' door and the poet is wheeled out composing with his feet up. Dicaeopolis begs the rags of the beggar-king Telephus and then, item by item, a cap, a staff, a basket, a chipped cup, a pot, and leaves, until Euripides cries that his visitor is robbing him of his tragedy and shuts his doors on a plea for chervil. Dicaeopolis then steels his heart for the block.*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμέλλετ' ἄρα πάντως ἀνήσειν τῆς βοῆς,
*you-were-going then in-any-case to-let-go of-the shouting*
ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνήθιοι,
*nearly and died charcoals Parnesian*
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
*and this because-of the strangeness of-the demesmen*
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
*by the fear and of-the coal-dust on-me much*
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.
*the basket squirted like cuttlefish*
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
*terrible for so sour-grape to-be-by-nature*
τὸν θυμὸν ἀνδρῶν ὥστε βάλλειν καὶ βοᾶν
*the temper of-men so-as to-pelt and to-shout*
ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
*to-be-willing and to-hear nothing equal to-equal bearing*
ἐμοῦ 'θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
*me being-willing over chopping-block to-speak*
ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω·
*for Lacedaemonians all whatever — I-say*

καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.
*and-yet I-love at-least the my life I*

ΧΟΡΟΣ τί οὖν οὐ λέγεις, ἐπίξηνον ἐξενεγκὼν θύραζ',
*why then not you-speak chopping-block having-brought-out out-of-doors*

ὅ τι ποτ' ὦ σχέτλιε τὸ μέγα τοῦτ' ἔχεις; 360
*what thing ever O wretch the great this you-have*

πάνυ γὰρ ἔμεγε πόθος ὅ τι φρονεῖς ἔχει.
*very for me-at-least longing what thing you-think holds*

ἀλλ' ἥπερ αὐτὸς τὴν δίκην διωρίσω,
*but in-the-way-which yourself the penalty you-defined*

θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν. 365
*having-set here the-chopping-block set-about to-speak*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἰδοὺ θεᾶσθε, τὸ μὲν ἐπίξηνον τοδί,
*look behold the indeed chopping-block this-here*

ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ τυννουτοσί.
*the and man the about-to-speak this-here so-tiny*

ἀμέλει μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι,
*never-fear by — Zeus not I-will-shield-myself*

λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἅ μοι δοκεῖ.
*I-will-speak and for Lacedaemonians what to-me seems*

καίτοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους 370
*and-yet I-fear much the both for ways*

τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
*the of-the countrymen I-know rejoicing much*

ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
*if someone them praises and the city*

ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα·
*man impostor both just-things and-unjust*

κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι·
*and-there unnoticed being-sold*

τῶν τ᾽ αὖ γερόντων οἶδα τὰς ψυχὰς ὅτι
*the and in-turn old-men I-know the souls that*
οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψηφηδακεῖν.
*nothing they-look-to other except to-bite-with-the-vote*
αὐτός τ᾽ ἐμαυτὸν ὑπὸ Κλέωνος ἄπαθον
*myself and myself by Cleon what-I-suffered*
ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν.
*I-know because-of the last-year's comedy*
εἰσελκύσας γάρ μ᾽ ἐς τὸ βουλευτήριον
*having-dragged for me into the council-house*
διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
*he-slandered and lies tongued-against of-me*
κἀκυκλοβόρει κἄπλυνεν, ὥστ᾽ ὀλίγου πάνυ
*and-roared-like-Cycloborus and-washed-me so-that nearly very*
ἀπωλόμην μολυνοπραγμονούμενος.
*I-perished being-mud-dealt-with*
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε
*now then me first before to-speak allow*
ἐνσκευάσασθαί μ᾽ οἷον ἀθλιώτατον.
*to-dress-up me as most-wretched*
ΧΟΡΟΣ τί ταῦτα στρέφει τεχνάζεις τε καὶ πορίζεις τριβάς;
*why this do-you-twist do-you-scheme and and do-you-contrive delays*
λαβὲ δ᾽ ἐμοῦ γ᾽ ἕνεκα παρ᾽ Ἱερωνύμου
*take and of-me at-least for-the-sake from Hieronymus*
σκοτοδασυπυκνότριχά τιν᾽ Ἄιδος κυνῆν·
*dark-thick-shaggy-haired some of-Hades cap*
ἀλλ᾽ ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
*but open-up devices the of-Sisyphus*
ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ ἐσδέξεται.
*since excuse the-contest this not will-admit*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὥρα ’στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν,
*time it-is now strong soul to-take*
καί μοι βαδιστέ’ ἐστὶν ὡς Εὐριπίδην.
*and for-me one-must-go it-is to Euripides*
παῖ παῖ. ΚΗΦΙΣΟΦΩΝ τίς οὗτος, ΔΙΚΑΙΟΠΟΛΙΣ ἔνδον ἔστ’ Εὐριπίδης; 395
*boy boy who this inside is-he Euripides*
ΚΗΦΙΣΟΦΩΝ οὐκ ἔνδον ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις.
*not inside inside he-is if sense you-have*
ΔΙΚΑΙΟΠΟΛΙΣ πῶς ἔνδον εἶτ’ οὐκ ἔνδον; ΚΗΦΙΣΟΦΩΝ ὀρθῶς ὦ γέρον.
*how inside then not inside rightly O old-man*
ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια
*the mind indeed outside gathering versicles*
οὐκ ἔνδον, αὐτὸς δ’ ἔνδον ἀναβάδην ποιεῖ
*not inside he-himself and inside with-feet-up composes*
τραγῳδίαν. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ τρισμακάρι’ Εὐριπίδη, 400
*tragedy O thrice-blessed Euripides*
ὅθ’ ὁ δοῦλος οὑτωσὶ σαφῶς ἀπεκρίνατο.
*seeing-that the slave so-here clearly answered*
ἐκκάλεσον αὐτόν. ΚΗΦΙΣΟΦΩΝ ἀλλ’ ἀδύνατον.
*call-out him but impossible*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ’ ὅμως·
*but nevertheless*
οὐ γὰρ ἂν ἀπέλθοιμ’, ἀλλὰ κόψω τὴν θύραν.
*not for — I-would-go-away but I-will-knock-at the door*
Εὐριπίδη, Εὐριπίδιον,
*Euripides little-Euripides*
ὑπάκουσον, εἴπερ τώποτ’ ἀνθρώπων τινί· 405
*listen if-ever ever of-men to-anyone*
Δικαιόπολις καλεῖ σε Χολλῃδης, ἐγώ.
*Dicaeopolis calls you of-Cholleidae I*

ΕΥΡΙΠΙΔΗΣ ἀλλ᾽ οὐ σχολή.
*but not leisure*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ᾽ ἐκκυκλήθητ᾽. ΕΥΡΙΠΙΔΗΣ ἀλλ᾽ ἀδύνατον.
*but be-wheeled-out but impossible*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ᾽ ὅμως.
*but nevertheless*

ΕΥΡΙΠΙΔΗΣ ἀλλ᾽ ἐκκυκλήσομαι· καταβαίνειν δ᾽ οὐ σχολή.
*but I-will-be-wheeled-out to-come-down and not leisure*

ΔΙΚΑΙΟΠΟΛΙΣ Εὐριπίδη, ΕΥΡΙΠΙΔΗΣ τί λέλακας;
*Euripides what do-you-say*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀναβάδην ποιεῖς,
*with-feet-up you-compose*

ἐξὸν καταβάδην; οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
*it-being-possible with-feet-down not without-reason lame-men you-compose*

ἀτὰρ τί τὰ ῥάκι᾽ ἐκ τραγῳδίας ἔχεις,
*but why the rags from tragedy you-have*

ἐσθῆτ᾽ ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
*clothing pitiable not without-reason beggars you-compose*

ἀλλ᾽ ἀντιβολῶ πρὸς τῶν γονάτων σ᾽ Εὐριπίδη,
*but I-beg by the knees you Euripides*

δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
*give me rag some of-the old play*

δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν·
*must for me to-speak to-the chorus speech long*

αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.
*it and death if badly I-speak brings*

ΕΥΡΙΠΙΔΗΣ τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
*the what tatters surely-not in which Oeneus this-here*

ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
*the ill-fated old-man was-competing*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
*not of-Oeneus they-were but still more-wretched*

ΕΥΡΙΠΙΔΗΣ τὰ τοῦ τυφλοῦ Φοίνικος; ΔΙΚΑΙΟΠΟΛΙΣ οὐ Φοίνικος, οὔ·
*the of-the blind Phoenix not Phoenix no*

ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
*but another it-was than-Phoenix more-wretched*

ΕΥΡΙΠΙΔΗΣ ποίας ποθ' ἁνὴρ λακίδας αἰτεῖται πέπλων;
*what ever the-man shreds asks-for of-robes*

ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
*but — of-Philoctetes the of-the beggar you-mean*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
*no but than-this-one much much more-beggarly*

ΕΥΡΙΠΙΔΗΣ ἀλλ' ἢ τὰ δυσπινῆ 'θέλεις πεπλώματα,
*but — the filthy you-want robes*

ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;
*which Bellerophon had the lame this-here*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
*not Bellerophon but and-he indeed was*

χωλὸς προσαιτῶν στωμύλος δεινὸς λέγειν.
*lame begging glib terrible to-speak*

ΕΥΡΙΠΙΔΗΣ οἶδ' ἄνδρα Μυσὸν Τήλεφον. ΔΙΚΑΙΟΠΟΛΙΣ ναὶ Τήλεφον·
*I-know man Mysian Telephus yes Telephus*

τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.
*of-this give I-beg you to-me the swaddling-clothes*

ΕΥΡΙΠΙΔΗΣ ὦ παῖ δὸς αὐτῷ Τηλέφου ῥακώματα.
*O boy give him of-Telephus tatters*

κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν
*they-lie and above the Thyestean rags*

μεταξὺ τῶν Ἰνοῦς. ΚΗΦΙΣΟΦΩΝ ἰδοὺ ταυτὶ λαβέ.
*between the of-Ino look these-here take*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,
*O Zeus seeing-through and seeing-down everywhere*
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
*to-dress-up me as most-wretched*
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδί,
*Euripides since you-have-granted these-here*
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
*those-too to-me give the-accompaniments of-the rags*
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
*the little-felt-cap around the head the Mysian*
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
*must for me to-seem beggar to-be today*
εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή·
*to-be indeed who I-am to-appear and not*
τοὺς μὲν θεατὰς εἰδέναι μ' ὃς εἴμ' ἐγώ,
*the indeed spectators to-know me who I-am I*
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
*the and in-turn chorus-men fools to-stand-by*
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
*so-that — them with-little-phrases I-may-finger*
ΕΥΡΙΠΙΔΗΣ δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
*I-will-give with-close for subtle-things you-contrive mind*
ΔΙΚΑΙΟΠΟΛΙΣ εὐδαιμονοίης, Τηλέφῳ δ' ἁγὼ φρονῶ.
*may-you-prosper to-Telephus and what-I think*
εὖ γ' οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
*well at-least how already with-little-phrases I-am-filled*
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
*but I-need at-least beggar's staff*
ΕΥΡΙΠΙΔΗΣ τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
*this-here having-taken go-away from-stony thresholds*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
*O heart you-see for how I-am-thrust from-the-house*
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
*many needing small-props now indeed become*
γλίσχρος προσαιτῶν λιπαρῶν τ'. Εὐριπίδη
*sticky begging pestering and Euripides*
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.
*give me little-basket burned-through by-lamp*
ΕΥΡΙΠΙΔΗΣ τί δ' ὦ τάλας σε τοῦδ' ἔχει πλέκους χρέος;
*what and O wretch you of-this holds wicker need*
ΔΙΚΑΙΟΠΟΛΙΣ χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.
*need indeed nothing I-wish and nevertheless to-get*
ΕΥΡΙΠΙΔΗΣ λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων.
*troublesome know being and-depart from-the-house*
ΔΙΚΑΙΟΠΟΛΙΣ φεῦ·
*alas*
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.
*may-you-prosper as the mother once*
ΕΥΡΙΠΙΔΗΣ ἄπελθε νῦν μοι. ΔΙΚΑΙΟΠΟΛΙΣ μὰλλά μοι δὸς ἓν μόνον
*go-away now for-me nay-but to-me give one only*
κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουσμένον.
*little-cup the rim chipped-off*
ΕΥΡΙΠΙΔΗΣ φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.
*go-to-ruin having-taken this know troublesome being to-the-house*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὔπω μὰ Δί'· οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
*not-yet by Zeus you-know what-things yourself you-work evils*
ἀλλ' ὦ γλυκύτατ' Εὐριπίδη τουτὶ μόνον
*but O sweetest Euripides this-here only*
δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.
*give me little-pot with-sponge stopped-up*

ΕΥΡΙΠΙΔΗΣ ὦνθρωπ᾽ ἀφαιρήσει με τὴν τραγῳδίαν·
*O-man you-will-rob me the tragedy*
ἄπελθε ταυτηνὶ λαβών. ΔΙΚΑΙΟΠΟΛΙΣ ἀπέρχομαι.
*go-away this-here having-taken I-am-going*
καίτοι τί δράσω; δεῖ γὰρ ἑνὸς οὗ μὴ τυχὼν
*and-yet what shall-I-do I-need for one-thing which not having-got*
ἀπόλωλ᾽. ἄκουσον ὦ γλυκύτατ᾽ Εὐριπίδη·
*I-am-lost hear O sweetest Euripides*
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ᾽ ἔτι·
*this-here having-taken I-will-go and-not will-approach again*
ἐς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
*into the little-basket withered for-me leaves give*
ΕΥΡΙΠΙΔΗΣ ἀπολεῖς μ᾽. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
*you-will-ruin me look for-you gone to-me the plays*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ᾽ οὐκέτ᾽, ἀλλ᾽ ἄπειμι. καὶ γάρ εἰμ᾽ ἄγαν
*but no-more but I-go and for I-am too*
ὀχληρός, οὐ δοκῶν με κοιράνους στυγεῖν.
*troublesome not thinking me lords to-hate*
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ᾽. ἐπελαθόμην
*ah-me ill-starred how I-am-lost I-forgot*
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
*in which-indeed are all to-me the affairs*
Εὐριπίδιον ὦ φιλτάτιον καὶ γλυκύτατον,
*little-Euripides O dearest and sweetest*
κάκιστ᾽ ἀπολοίμην, εἴ τί σ᾽ αἰτήσαιμ᾽ ἔτι,
*most-vilely may-I-perish if anything you I-should-ask again*
πλὴν ἓν μόνον, τουτὶ μόνον τουτὶ μόνον,
*except one only this-here only this-here only*
σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος.
*chervil to-me give from-your-mother received*

ΕΥΡΙΠΙΔΗΣ ἀνὴρ ὑβρίζει· κλῆε πηκτὰ δωμάτων.
*the-man insults shut the-fastened-doors of-the-house*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ θύμ' ἄνευ σκάνδικος ἐμπορευτέα. 480
*O heart without chervil we-must-travel*

ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
*— do-you-know how-great the contest you-will-contend soon*

μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
*being-about for Lacedaemonian men to-speak*

πρόβαινέ νυν ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
*go-forward now O heart line and this-here*

ἔστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
*you-stand not you-go having-swallowed Euripides*

ἐπῄνεσ'· ἄγε νυν ὦ τάλαινα καρδία 485
*I-praise come now O wretched heart*

ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
*go-off there and-then the head there*

παράσχες εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.
*offer having-said whatever — yourself to-you seems*

τόλμησον ἴθι χώρησον, ἄγαμαι καρδίας.
*dare go advance I-admire the-heart*

*With his head on the block, Dicaeopolis argues that the war began not from Sparta but from Athenian informers seizing Megarian goods, the theft of a whore by drunk youths and of two of Aspasia's in return, and Pericles' Megarian decree. The chorus splits; the angry half calls on Lamachus, who strides out in his Gorgon shield. Dicaeopolis mocks his crests and his pay, and declares his own market open to Peloponnesians, Megarians, and Boeotians, but not to Lamachus.*

ΧΟΡΟΣ τί δράσεις; τί φήσεις; εὖ ἴσθι νυν
*what will-you-do what will-you-say well know now*
ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνήρ,
*shameless being iron and man*
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
*who offering to-the city the neck*
ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.
*to-all are-about one to-speak the-contrary*
ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν,
*the-man not trembles-at the matter come-on now*
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.
*since-indeed yourself you-choose speak*
ΔΙΚΑΙΟΠΟΛΙΣ μή μοι φθονήσητ' ἄνδρες οἱ θεώμενοι,
*not me begrudge men the watching*
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
*if beggar being then among Athenians to-speak*
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
*I-am-about about the city comedy making*
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
*the for just knows also comedy*
ἐγὼ δὲ λέξω δεινὰ μὲν δίκαια δέ.
*I and will-say terrible-things indeed just and*

οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων ὅτι
*not for me now at-least will-slander Cleon that*
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
*strangers being-present the city badly I-speak-of*
αὐτοὶ γάρ ἐσμεν οὐπὶ Ληναίῳ τ᾽ ἀγών,
*ourselves for we-are the-at Lenaeum and contest*
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
*and-not-yet strangers are-present nor for tributes*
ἥκουσιν οὔτ᾽ ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
*have-come nor from the cities the allies*
ἀλλ᾽ ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
*but we-are ourselves now at-least winnowed*
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
*the for metics chaff of-the citizens I-call*
ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
*I and hate indeed Lacedaemonians much*
καὐτοῖς ὁ Ποσειδῶν οὐπὶ Ταινάρῳ θεὸς
*and-on-them — Poseidon the-at Taenarum god*
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
*having-shaken on-all may-throw-down the houses*
κἀμοὶ γάρ ἐστ᾽ ἀμπέλια διακεκομμένα.
*and-to-me for are vines cut-down*
ἀτὰρ φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
*but friends for the present in speech*
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
*why this the Laconians do-we-blame*
ἡμῶν γὰρ ἄνδρες, κοὐχὶ τὴν πόλιν λέγω,
*of-us for men and-not the city I-say*
μέμνησθε τοῦθ᾽ ὅτι οὐχὶ τὴν πόλιν λέγω,
*remember this that not the city I-say*

ἀλλ᾽ ἀνδράρια μοχθηρά, παρακεκομμένα,
*but little-men worthless counterfeit*
ἄτιμα καὶ παράσημα καὶ παράξενα,
*dishonored and false-stamped and foreign*
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
*informed-against of-Megarians the little-cloaks*
κεἴ που σίκυον ἴδοιεν ἢ λαγῴδιον
*and-if anywhere cucumber they-saw or little-hare*
ἢ χοιρίδιον ἢ σκόροδον ἢ χόνδρους ἅλας,
*or piglet or garlic or lump salt*
ταῦτ᾽ ἦν Μεγαρικὰ κἀπέπρατ᾽ αὐθημερόν.
*these were Megarian and-were-sold the-same-day*
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια,
*and these indeed indeed small-things and-local*
πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγαράδε
*whore and Simaetha going to-Megara*
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
*youths steal drunk-with-cottabus*
κᾆθ᾽ οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
*and-then the Megarians with-pains garlic-stuffed*
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
*stole-in-return of-Aspasia whores two*
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
*and-thence beginning of-the war broke-out*
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
*for-Greeks all from three whores*
ἐντεῦθεν ὀργῇ Περικλέης οὐλύμπιος
*thence in-anger Pericles the-Olympian*
ἤστραπτ᾽ ἐβρόντα ξυνεκύκα τὴν Ἑλλάδα,
*lightened thundered stirred-up — Greece*

ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,
*he-set laws like drinking-songs written*
ὡς χρὴ Μεγαρέας μήτε γῇ μήτ᾽ ἐν ἀγορᾷ
*that one-must Megarians neither on-land nor in market*
μήτ᾽ ἐν θαλάττῃ μήτ᾽ ἐν οὐρανῷ μένειν.
*nor on sea nor in sky to-remain*
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ ᾽πείνων βάδην,
*thence the Megarians when indeed they-were-starving step-by-step*
Λακεδαιμονίων ἐδέοντο τὸ ψήφισμ᾽ ὅπως
*Lacedaemonians begged the decree so-that*
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας·
*might-be-turned-round the because-of the whores*
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
*and-not were-willing we them-asking often*
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
*and-thence then clatter there-was of-the shields*
ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν, εἴπατε.
*will-say someone not one-ought but what one-ought tell*
φέρ᾽ εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
*come if of-Lacedaemonians someone having-sailed-out in-boat*
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,
*sold having-denounced puppy of-Seriphians*
καθῆσθ᾽ ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ·
*would-you-have-sat — in houses — much at-least lacking*
καὶ κάρτα μέντἂν εὐθέως καθείλκετε
*and very however at-once you-would-have-launched*
τριακοσίας ναῦς, ἦν δ᾽ ἂν ἡ πόλις πλέα
*three-hundred ships was and — the city full*
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
*of-uproar of-soldiers about trierarch of-shouting*

μισθοῦ διδομένου, παλλαδίων χρυσουμένων,
*pay being-paid figureheads being-gilded*
στοᾶς στεναχούσης, σιτίων μετρουμένων,
*colonnade groaning rations being-measured*
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
*skins oar-loops casks being-bought*
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
*garlic olives onions in nets*
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων·
*garlands sprats flute-girls black-eyes*
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
*the dockyard and in-turn oars being-shaped*
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
*pegs knocking oarports being-strapped*
αὐλῶν, κελευστῶν, νιγλάρων, συριγμάτων.
*flutes boatswains whistles pipings*
ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· τὸν δὲ Τήλεφον
*this I-know that — you-would-have-done the and Telephus*
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.
*not do-we-think sense then to-us not is-in*
ΗΜΙΧΟΡΙΟΝ Α′ ἄληθες ὦπίτριπτε καὶ μιαρώτατε;
*really O-damned and foulest*
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν,
*this-here you dare beggar being us to-say*
καὶ συκοφάντης εἴ τις ἦν ὠνείδισας;
*and informer if any was you-reproached*
ΗΜΙΧΟΡΙΟΝ Β′ νὴ τὸν Ποσειδῶ καὶ λέγει γ' ἅπερ λέγει
*by — Poseidon and he-says at-least what he-says*
δίκαια πάντα κοὐδὲν αὐτῶν ψεύδεται.
*just-things all and-nothing of-them he-lies*

ΗΜΙΧΟΡΙΟΝ Α′ εἶτ᾽ εἰ δίκαια, τοῦτον εἰπεῖν αὖτ᾽ ἐχρῆν;
*then if just-things this-man to-say them one-ought*
ἀλλ᾽ οὔτι χαίρων ταῦτα τολμήσει λέγειν.
*but not-at-all rejoicing this will-he-dare to-say*
ΗΜΙΧΟΡΙΟΝ Β′ οὗτος σὺ ποῖ θεῖς; οὐ μενεῖς; ὡς εἰ θενεῖς
*you you where do-you-run not will-you-stay since if you-strike*
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
*the man this yourself will-be-lifted soon*
ΗΜΙΧΟΡΙΟΝ Α′ ἰὼ Λάμαχ᾽ ὦ βλέπων ἀστραπάς,
*oh Lamachus O looking lightnings*
βοήθησον ὦ γοργολόφα φανείς,
*help O Gorgon-crested appearing*
ἰὼ Λάμαχ᾽ ὦ φίλ᾽ ὦ φυλέτα·
*oh Lamachus O friend O tribesman*
εἴτε τις ἔστι ταξίαρχος ἢ στρατηγὸς ἢ
*whether any is taxiarch or general or*
τειχομάχας ἀνήρ, βοηθησάτω
*wall-fighting man let-him-help*
τις ἀνύσας. ἐγὼ γὰρ ἔχομαι μέσος.
*someone quickly I for am-held round-the-middle*
ΛΑΜΑΧΟΣ πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
*whence shout I-heard warlike*
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
*where must-I help where uproar to-throw-in*
τίς Γοργόν᾽ ἐξήγειρεν ἐκ τοῦ σάγματος;
*who Gorgon roused from the casing*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Λάμαχ᾽ ἥρως, τῶν λόφων καὶ τῶν λόχων.
*O Lamachus hero of-the crests and of-the companies*

ΗΜΙΧΟΡΙΟΝ Α′ ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
*O Lamachus not for this the-man long-since*
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;
*all our the city abuses*
ΛΑΜΑΧΟΣ οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
*you you dare beggar being to-say these-things*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
*O Lamachus hero but pardon have*
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.
*if beggar being I-said something and-babbled*
580 ΛΑΜΑΧΟΣ τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς;
*what and did-you-say of-us not will-you-say*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ οἶδά πω·
*not I-know yet*
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων εἰλιγγιῶ.
*by the fear for of-the arms I-am-dizzy*
ἀλλ' ἀντιβολῶ σ' ἀπένεγκέ μου τὴν μορμόνα.
*but I-beg you take-away from-me the bogey*
ΛΑΜΑΧΟΣ ἰδού. ΔΙΚΑΙΟΠΟΛΙΣ παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.
*look set-down now upside-down it for-me*
ΛΑΜΑΧΟΣ κεῖται. ΔΙΚΑΙΟΠΟΛΙΣ φέρε νυν
*it-lies bring now*
ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
*from the helmet for-me the feather*
585 ΛΑΜΑΧΟΣ τουτὶ πτίλον σοι.
*this-here plume for-you*
ΔΙΚΑΙΟΠΟΛΙΣ τῆς κεφαλῆς νύν μου λαβοῦ,
*of-the head now me hold*
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.
*so-that I-may-vomit I-loathe for the crests*

ΛΑΜΑΧΟΣ οὗτος τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
*you what will-you-do with-the plume you-are-about to-vomit*
πτίλον γάρ ἐστιν — ΔΙΚΑΙΟΠΟΛΙΣ εἰπέ μοι τίνος ποτὲ
*plume for it-is tell me of-what ever*
ὄρνιθός ἐστιν; ἆρα κομπολακύθου;
*of-bird is-it — of-a-boast-bird*
ΛΑΜΑΧΟΣ οἴμ' ὡς τεθνήξεις. ΔΙΚΑΙΟΠΟΛΙΣ μηδαμῶς ὦ Λάμαχε·
*ah-me how you-will-die by-no-means O Lamachus*
οὐ γὰρ κατ' ἰσχύν ἐστιν· εἰ δ' ἰσχυρὸς εἶ,
*not for by strength it-is if and strong you-are*
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
*why me not did-you-skin-back well-armed for you-are*
ΛΑΜΑΧΟΣ ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν πτωχὸς ὤν;
*these-here say you the general beggar being*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἐγὼ γάρ εἰμι πτωχός; ΛΑΜΑΧΟΣ ἀλλὰ τίς γὰρ εἶ;
*I for am beggar but who for are-you*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὅστις; πολίτης χρηστός, οὐ σπουδαρχίδης,
*who citizen good not office-hunter*
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος, στρατωνίδης,
*but since which indeed the war soldiering-son*
σὺ δ' ἐξ ὅτου περ ὁ πόλεμος, μισθαρχίδης.
*you and since which indeed the war pay-son*
ΛΑΜΑΧΟΣ ἐχειροτόνησαν γάρ με —
*they-elected for me*
ΔΙΚΑΙΟΠΟΛΙΣ κόκκυγές γε τρεῖς.
*cuckoos at-least three*
ταῦτ' οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
*these then I loathing made-truce*
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσιν,
*seeing gray indeed men in the ranks*

νεανίας δ' οἵους σὺ διαδεδρακότας,
*youths and such-as you having-run-off*
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμάς,
*the indeed in Thrace drawing-pay three drachmas*
Τεισαμενοφαινίππους Πανουργιππαρχίδας,
*Teisamenophainippuses Panourgipparchides*
ἑτέρους δὲ παρὰ Χάρητι τοὺς δ' ἐν Χάοσιν,
*others and with Chares the and among Chaonians*
Γερητοθεοδώρους Διομειαλαζόνας,
*Geretotheodoruses Diomeialazons*
τοὺς δ' ἐν Καμαρίνῃ κἀν Γέλα κἀν Καταγέλᾳ.
*the and in Camarina and-in Gela and-in Catagela*
ΛΑΜΑΧΟΣ ἐχειροτονήθησαν γάρ. ΔΙΚΑΙΟΠΟΛΙΣ αἴτιον δὲ τί
*they-were-elected for cause and what*
ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἁμῇγέπῃ,
*you indeed always to-draw-pay somehow*
τωνδὶ δὲ μηδέν'; ἐτεὸν ὦ Μαριλάδη
*of-these-here and none truly O Marilades*
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν †ἓν ἢ;†
*already have-been-envoy you gray being once or*
ἀνένευσε· καίτοι γ' ἐστὶ σώφρων κἀργάτης.
*he-nodded-no and-yet at-least he-is sober and-a-worker*
τί δαὶ Δράκυλλος ἢ Εὐφορίδης ἢ Πρινίδης;
*what then Dracyllus or Euphorides or Prinides*
εἶδέν τις ὑμῶν τἀκβάταν' ἢ τοὺς Χάονας;
*saw anyone of-you the-Ecbatana or the Chaonians*
οὔ φασιν. ἀλλ' ὁ Κοισύρας καὶ Λάμαχος,
*not they-say but the of-Coesyra and Lamachus*
οἷς ὑπ' ἐράνου τε καὶ χρεῶν πρώην ποτέ,
*whom by club-dues both and debts lately once*

ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας,
*like slop-water pouring-out at-evening*
ἅπαντες "ἐξίστω" παρήνουν οἱ φίλοι.
*all stand-aside advised the friends*
ΛΑΜΑΧΟΣ ὦ δημοκρατία ταῦτα δῆτ' ἀνασχετά;
*O democracy this then bearable*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὐ δῆτ' ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.
*not then if not draws-pay at-least Lamachus*
ΛΑΜΑΧΟΣ ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
*but then I indeed with-all Peloponnesians*
ἀεὶ πολεμήσω καὶ ταράξω πανταχῇ
*always will-war and will-stir-up everywhere*
καὶ ναυσὶ καὶ πεζοῖσι κατὰ τὸ καρτερόν.
*both with-ships and with-foot by the force*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
*I and proclaim at-least to-Peloponnesians*
ἅπασι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
*all and Megarians and Boeotians*
πωλεῖν ἀγοράζειν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
*to-sell to-buy with me to-Lamachus and not*

*The chorus speaks for the poet: he has stopped foreign envoys from flattering the Athenians as violet-crowned, shown the allies how they are governed, and won such fame that the Spartans want Aegina only so as to take him from Athens. Then it calls on the Acharnian Muse and complains that old men who fought at Marathon are now ruined in court by glib young prosecutors, as old Thucydides was, and asks that the courts be divided by age.*

ΧΟΡΟΣ ἀνὴρ νικᾷ τοῖσι λόγοισιν, καὶ τὸν δῆμον μεταπείθει
*the-man wins with-the arguments and the people persuades*
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες
*about the truce but stripping*
τοῖς ἀναπαίστοις ἐπίωμεν.
*for-the anapaests let-us-go-at*
ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν
*from which at-least choruses has-been-set-over*
τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
*comic the producer our*
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν·
*not-yet came-forward to the audience to-say how clever he-is*
630 διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν
*being-slandered and by the enemies*
ἐν Ἀθηναίοις ταχυβούλοις,
*among Athenians quick-deciding*
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
*that he-mocks the city our and the people insults*
ἀποκρίνασθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
*to-answer he-needs now before Athenians changeable*
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητής,
*says and to-be of-many goods worthy to-you the poet*

παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
*having-stopped you with-foreign words not too-much to-be-deceived*
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας.
*nor to-be-pleased being-flattered nor to-be gaping-citizens*
πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβεις ἐξαπατῶντες
*before and you from the cities the envoys deceiving*
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἀπειδὴ τοῦτό τις εἴποι,
*first indeed violet-crowned called and-when this someone said*
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων
*at-once because-of the crowns on tips*
τῶν πυγιδίων ἐκάθησθε.
*of-the little-buttocks you-sat*
εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας,
*if and someone you having-flattered gleaming called Athens*
ηὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας.
*he-got everything — because-of the gleaming of-sprats honor having-tied-on*
ταῦτα ποιήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται,
*these-things having-done of-many goods cause to-you has-become*
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας
*and the peoples in the cities having-shown*
ὡς δημοκρατοῦνται.
*how they-are-democratically-ruled*
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
*therefore now from the cities the tribute to-you bringing*
ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,
*they-will-come to-see longing the poet the best*
ὅστις παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις τὰ δίκαια.
*who ventured to-say among Athenians the just-things*
οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
*so and of-him about the daring already far fame comes*

ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων τὴν πρεσβείαν βασανίζων
*when even king of-Lacedaemonians the embassy questioning*
ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι ταῖς ναυσὶ κρατοῦσιν,
*asked first indeed them which with-the ships are-strong*
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ πολλά·
*then and this the poet which he-said evils many*
τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους γεγενῆσθαι
*these for he-said the men much better to-have-become*
καὶ τῷ πολέμῳ πολὺ νικήσειν τοῦτον ξύμβουλον ἔχοντας.
*and in-the war much to-win this-man counselor having*
διὰ ταῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται
*because-of this you Lacedaemonians the peace invite*
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν· καὶ τῆς νήσου μὲν ἐκείνης
*and — Aegina demand and of-the island indeed that*
οὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.
*not they-care but so-that this the poet they-may-take-away*
ἀλλ' ὑμεῖς τοι μή ποτ' ἀφῆσθ'· ὡς κωμῳδήσει τὰ δίκαια·
*but you surely not ever let-go since he-will-satirize the just-things*
φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμονας εἶναι,
*says and you many-things to-teach good so-that happy to-be*
οὐ θωπεύων οὐδ' ὑποτείνων μισθοὺς οὐδ' ἐξαπατύλλων,
*not flattering nor holding-out wages nor cheating*
οὐδὲ πανουργῶν οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων.
*nor playing-the-rogue nor drenching but the best-things teaching*
πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω
*to this Cleon also let-contrive*
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.
*and everything against me let-him-build*
τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
*the for good with me and the just*

ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ
*ally will-be and-not not ever I-shall-be-caught*
περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος
*about the city being like that-man*
δειλὸς καὶ λακαταπύγων.
*coward and buggered-wide*
δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς
*hither Muse come fiery of-fire*
ἔχουσα μένος ἔντονος Ἀχαρνική.
*having force intense Acharnian*
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλος ἀνήλατ'
*like from coals holm-oak spark leaps*
ἐρεθιζόμενος οὐρίᾳ ῥιπίδι,
*being-roused fair-blowing by-fan*
ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι,
*when — small-fry are lying-by*
οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
*others and Thasian stir-up gleaming-filleted*
οἱ δὲ μάττωσιν, οὕτω σοβαρὸν ἐλθὲ
*others and knead so lusty come*
μέλος ἔντονον ἀγροικότερον
*song strained rather-rustic*
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.
*to me having-taken the demesman*
οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει·
*the old-men the ancient we-reproach the city*
οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν
*not for worthily of-those which we-fought-at-sea*
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,
*we-are-cared-for-in-age by you but terrible-things we-suffer*

οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
*who old men having-thrown into lawsuits*
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων,
*by youths you-let to-be-mocked speakers*
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους,
*nothing being but deaf and piped-out*
οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν ἡ βακτηρία·
*for-whom Poseidon securer is the staff*
τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
*mumbling and with-age at-the stone we-stand*
οὐχ ὁρῶντες οὐδὲν εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
*not seeing anything if not of-the suit the shadow*
ὁ δέ, νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν,
*the and youth for-himself having-hurried to-plead*
ἐς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασιν·
*at speed strikes joining with-rounded the words*
κᾆτ' ἀνελκύσας ἐρωτᾷ σκανδάληθρ' ἱστὰς ἐπῶν
*and-then having-hauled-up he-questions trap-sticks setting of-words*
ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν.
*man Tithonus tearing and confounding and stirring-up*
ὁ δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὀφλὼν ἀπέρχεται,
*he and from age mumbles and-then convicted goes-off*
εἶτα λύζει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους,
*then sobs and weeps and says to the friends*
"οὗ μ' ἐχρῆν σορὸν πρίασθαι τοῦτ' ὀφλὼν ἀπέρχομαι."
*for-which me it-was-needful coffin to-buy this convicted I-go-off*
ταῦτα πῶς εἰκότα, γέροντ' ἀπολέσαι
*these-things how fitting old-man to-destroy*
πολιὸν ἄνδρα περὶ κλεψύδραν,
*gray man around water-clock*

πολλὰ δὴ ξυμπονήσαντα καὶ θερμὸν ἀπο-
*many-things indeed having-toiled-with and hot having-wiped-off*
μορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,
*— manly sweat indeed and much*
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
*man good being at-Marathon for the city*
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν ἐδιώκομεν,
*then at-Marathon indeed when we-were we-pursued*
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν σφόδρα διωκόμεθα,
*now and by men wicked very we-are-pursued*
κᾆτα προσαλισκόμεθα.
*and-then we-are-convicted-besides*
πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;
*against this who will-answer Marpsias*
τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν ἡλίκον Θουκυδίδην
*how for fitting man bent so-old Thucydides*
ἐξολέσθαι συμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ,
*to-perish entangled with-the of-Scythians wilderness*
τῷδε τῷ Κηφισοδήμῳ τῷ λάλῳ ξυνηγόρῳ;
*with-this — Cephisodemus the chattering advocate*
ὥστ' ἐγὼ μὲν ἠλέησα κἀπεμορξάμην ἰδὼν
*so-that I indeed pitied and-wiped-off seeing*
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον,
*man old by man archer stirred-up*
ὃς μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
*who by — Demeter that-man when was Thucydides*
οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετο,
*not-even — herself — Achaea easily would-have-borne*
ἀλλὰ κατεπάλαισε μέντἂν πρῶτον Εὐάθλους δέκα,
*but would-have-thrown however first Euathluses ten*

κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
*would-have-shouted-down and — screaming archers three-thousand*
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
*would-have-outshot and — of-very the father the kinsmen*
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
*but since the old-men not you-let sleep to-get*
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφάς, ὅπως ἂν ᾖ
*vote separate to-be the lawsuits so-that — may-be*
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος,
*for-the old-man indeed old and toothless the advocate*
τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου.
*for-the young and wide-ass and chatterer and-the of-Cleinias*
κἀξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τις ζημιοῦν,
*and-to-drive-out one-must the in-future and-if flees anyone to-fine*
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.
*the old-man by-the old-man the young and by-the young*

## VIII · THE MEGARIAN

*Dicaeopolis sets the bounds of his market. A starving Megarian disguises his two daughters as piglets in a sack and offers them for sale, and the bawdy haggling over whether they are pigs ends in a bunch of garlic and a quart of salt. An informer who tries to denounce the piglets and their seller as enemy goods is driven off, and Dicaeopolis pays the Megarian and bids him farewell.*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς.
*bounds indeed of-market are these the my*
ἐνταῦθ' ἀγοράζειν πᾶσι Πελοποννησίοις
*here to-trade for-all Peloponnesians*
ἔξεστι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις,
*it-is-allowed and for-Megarians and for-Boeotians*

ἐφ᾽ ᾧτε πωλεῖν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
*on condition-that to-sell to me to-Lamachus and not*

ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι
*market-overseers and of-the market I-appoint*

τρεῖς τοὺς λαχόντας τούσδ᾽ ἱμάντας ἐκ Λεπρῶν.
*three the chosen-by-lot these straps from Lepra*

ἐνταῦθα μήτε συκοφάντης εἰσίτω
*here neither informer let-enter*

μήτ᾽ ἄλλος ὅστις Φασιανός ἐστ᾽ ἀνήρ.
*nor other anyone-who Phasian is man*

ἐγὼ δὲ τὴν στήλην καθ᾽ ἣν ἐσπεισάμην
*I and the pillar according-to which I-made-truce*

μέτειμ᾽, ἵνα στήσω φανερὰν ἐν τἀγορᾷ.
*will-go-fetch so-that I-may-set-up visible in the-market*

ΜΕΓΑΡΕΥΣ ἀγορὰ ᾽ν Ἀθάναις χαῖρε Μεγαρεῦσιν φίλα.
*market in Athens hail to-Megarians dear*

ἐπόθουν τυ ναὶ τὸν φίλιον ᾖπερ ματέρα.
*I-longed-for you by the god-of-friends like mother*

ἀλλ᾽ ὦ πόνηρα κώρι᾽ ἀθλίω πατρός,
*but O wretched girls of-wretched father*

ἄμβατε ποττὰν μᾶδδαν, αἴ χ᾽ εὕρητέ πᾶ.
*climb-up to-the barley-cake if — you-find anywhere*

ἀκούετε δή, ποτέχετ᾽ ἐμὶν τὰν γαστέρα·
*listen now give-heed to-me the belly*

πότερα πεπρᾶσθαι χρῄδδετ᾽ ἢ πεινῆν κακῶς;
*whether to-be-sold you-want or to-starve badly*

ΚΟΡΑ πεπρᾶσθαι πεπρᾶσθαι.
*to-be-sold to-be-sold*

ΜΕΓΑΡΕΤΣ ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους
*I-at-least and-myself say who and so senseless*
ὃς ὑμέ κα πρίαιτο φανερὰν ζαμίαν;
*who you — would-buy plain loss*
ἀλλ' ἔστι γάρ μοι Μεγαρικά τις μαχανά,
*but there-is for to-me Megarian some device*
χοίρως γὰρ ὑμὲ σκευάσας φασῶ φέρειν.
*pigs for you having-dressed I-will-say to-bring*
περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων.
*put-on these the hooves of-the piglets*
ὅπως δὲ δοξεῖτ' εἶμεν ἐξ ἀγαθᾶς ὑός·
*so-that and you-may-seem to-be from good sow*
ὡς ναὶ τὸν Ἑρμᾶν, αἴπερ ἰξεῖτ' οἴκαδις
*since by — Hermes if you-come home*
ἄπρατα, πειρασεῖσθε τᾶς λιμῶ κακῶς.
*unsold you-will-taste of-the hunger badly*
ἀλλ' ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
*but put-on also these-here the snouts*
κἄπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
*and-then into the sack so get-in*
ὅπως δὲ γρυλλιξεῖτε καὶ κοἴξετε
*so-that and you-may-grunt and squeal*
χἠσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
*and-utter voice of-piglets of-the-mysteries*
ἐγὼν δὲ καρυξῶ Δικαιόπολιν ὅπᾳ·
*I and will-call Dicaeopolis where-he-is*
Δικαιόπολι, ἦ λῇς πρίασθαι χοιρία;
*Dicaeopolis — will-you to-buy piglets*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί; ἀνὴρ Μεγαρικός;
*what man Megarian*

ΜΕΓΑΡΕΥΣ ἀγορασοῦντες ἵκομες.
*to-trade we-have-come*

ΔΙΚΑΙΟΠΟΛΙΣ πῶς ἔχετε; ΜΕΓΑΡΕΥΣ διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.
*how are-you we-starve always by-the fire*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἢν αὐλὸς παρῇ.
*but sweet surely by — Zeus if flute is-present*

τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆς νῦν; ΜΕΓΑΡΕΥΣ οἷα δή.
*what and else do the Megarians now what indeed*

ὅκα μὲν ἐγὼν τηνῶθεν ἐμπορευόμαν,
*when indeed I from-there was-setting-out*

ἄνδρες πρόβουλοι τοῦτ' ἔπραττον τᾷ πόλει,
*men councilors this were-doing for-the city*

ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
*so-that quickest and most-vilely we-might-perish*

ΔΙΚΑΙΟΠΟΛΙΣ αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων.
*at-once then you-will-be-rid of-troubles*

ΜΕΓΑΡΕΥΣ σά μάν;
*what then*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί δ' ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;
*what and else in-Megara how the grain for-sale*

ΜΕΓΑΡΕΥΣ παρ' ἁμὶ πολυτίματος ᾗπερ τοὶ θεοί.
*with us much-prized as-also the gods*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἅλας οὖν φέρεις; ΜΕΓΑΡΕΥΣ οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
*salt then you-bring not you of-them rule*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐδὲ σκόροδα; ΜΕΓΑΡΕΥΣ ποῖα σκόροδ'; ὑμὲς τῶν ἀεί,
*nor garlic what garlic you the always*

ὅκκ' ἐσβάλητε, τὼς ἀρωραῖοι μύες
*when you-invade like field mice*

πάσσακι τὰς ἄγλιθας ἐξορύσσετε.
*with-a-stake the heads you-dig-up*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί δαὶ φέρεις; ΜΕΓΑΡΕΥΣ χοίρως ἐγώνγα μυστικάς.
*what then do-you-bring pigs I-at-least of-the-mysteries*

765 ΔΙΚΑΙΟΠΟΛΙΣ καλῶς λέγεις· ἐπίδειξον. ΜΕΓΑΡΕΥΣ ἀλλὰ μὰν καλαί.
*well you-say show but truly fine*

ἄντεινον αἰ λῇς· ὡς παχεῖα καὶ καλά.
*hold-up if you-will how fat and fine*

ΔΙΚΑΙΟΠΟΛΙΣ τουτὶ τί ἦν τὸ πρᾶγμα; ΜΕΓΑΡΕΥΣ χοῖρος ναὶ Δία.
*this-here what was the thing pig by Zeus*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί λέγεις σύ; ποδαπὴ δή ’στι χοῖρος;
*what say you of-what-country indeed is pig*

ΜΕΓΑΡΕΥΣ Μεγαρικά.
*Megarian*

ἢ οὐ χοῖρός ἐσθ’ ἅδ’; ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἔμοιγε φαίνεται.
*or not pig is it not to-me-at-least it-seems*

770 ΜΕΓΑΡΕΥΣ οὐ δεινά; θᾶσθε τῶδε τὰς ἀπιστίας·
*not terrible behold of-this-man the distrust*

οὔ φατι τάνδε χοῖρον εἶμεν. ἀλλὰ μάν,
*not he-says this pig to-be but truly*

αἰ λῇς, περίδου μοι περὶ θυμιτιδᾶν ἁλῶν,
*if you-will wager with-me for thyme-flavored salt*

αἰ μή ’στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
*if not is this pig of-Greeks by-custom*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ’ ἔστιν ἀνθρώπου γε. ΜΕΓΑΡΕΥΣ ναὶ τὸν Διοκλέα
*but it-is of-a-human at-least yes — by-Diocles*

775 ἐμά γα. τὺ δέ νιν εἶμεναι τίνος δοκεῖς;
*mine at-least you and it to-be whose do-you-think*

ἦ λῇς ἀκοῦσαι φθεγγομένας; ΔΙΚΑΙΟΠΟΛΙΣ νὴ τοὺς θεούς
*— will-you to-hear them-crying by the gods*

ἔγωγε. ΜΕΓΑΡΕΥΣ φώνει δὴ τὺ ταχέως χοιρίον.
*I-at-least cry-out now you quickly piglet*

οὐ χρῆσθα; σιγῇς ὦ κάκιστ' ἀπολουμένα;
*not will-you you-are-silent O most-vilely to-perish*

πάλιν τυ ἀποισῶ ναὶ τὸν Ἑρμᾶν οἴκαδις.
*back you I-will-carry by — Hermes home*

ΚΟΡΑ κοῖ κοῖ. 780
*oink oink*

ΜΕΓΑΡΕΥΣ αὕτα 'στὶ χοῖρος; ΔΙΚΑΙΟΠΟΛΙΣ νῦν γε χοῖρος φαίνεται.
*this is pig now at-least pig it-appears*

ἀτὰρ ἐκτραφείς γε κύσθος ἔσται. ΜΕΓΑΡΕΥΣ πέντ' ἐτῶν,
*but grown at-least cunt it-will-be in-five years*

σάφ' ἴσθι, ποττὰν ματέρ' εἰκασθήσεται.
*clearly know to-the mother it-will-be-like*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ' οὐδὲ θύσιμός ἐστιν αὑτηγί. ΜΕΓΑΡΕΥΣ σά μάν;
*but not-even sacrificeable is this-here what then*

πᾷ δ' οὐχὶ θύσιμός ἐστι; ΔΙΚΑΙΟΠΟΛΙΣ κέρκον οὐκ ἔχει. 785
*how and not sacrificeable is-it tail not it-has*

ΜΕΓΑΡΕΥΣ νεαρὰ γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
*young for it-is but grown-a-sow*

ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
*it-will-have big both and fat and-red*

ἀλλ' αἰ τράφειν λῇς, ἅδε τοι χοῖρος καλά.
*but if to-rear you-wish this surely pig fine*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.
*how kindred the cunt of-her to-the-other*

ΜΕΓΑΡΕΤΣ ὁμοματρία γάρ ἐστι κἠκ τωὐτῶ πατρός.
*of-the-same-mother for it-is and-from the-same father*
αἰ δ' ἂν παχυνθῇ κἀναχνοιανθῇ τριχί,
*if and — it-is-fattened and-sprouts with-hair*
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύειν.
*finest will-be pig for-Aphrodite to-sacrifice*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
*but not pig to-the-Aphrodite is-sacrificed*
ΜΕΓΑΡΕΤΣ οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
*not pig to-Aphrodite alone at-least of-gods*
καὶ γίνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
*and becomes at-least of-these the pigs the meat*
ἥδιστον ἂν τὸν ὀδελὸν ἐμπεπαρμένον.
*sweetest — the spit pierced-on*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
*already and without the mother could-they-eat —*
ΜΕΓΑΡΕΤΣ ναὶ τὸν Ποτειδᾶν καί κ' ἄνις γα τῶ πατρός.
*by — Poteidan and — without at-least the father*
ΔΙΚΑΙΟΠΟΛΙΣ τί δ' ἐσθίει μάλιστα;
*what and does-it-eat most*
ΜΕΓΑΡΕΤΣ πάνθ' ἅ κα διδῷς.
*all-things whatever — you-give*
αὐτὸς δ' ἐρώτη. ΔΙΚΑΙΟΠΟΛΙΣ χοῖρε χοῖρε. ΚΟΡΑ κοῖ κοῖ.
*yourself and ask piggy piggy oink oink*
ΔΙΚΑΙΟΠΟΛΙΣ τρώγοις ἂν ἐρεβίνθους; ΚΟΡΑ κοῖ κοῖ κοῖ.
*would-you-eat — chickpeas oink oink oink*
ΔΙΚΑΙΟΠΟΛΙΣ τί δαί; φιβάλεως ἰσχάδας; ΚΟΡΑ κοῖ κοῖ.
*what then Phibalean figs oink oink*
ΔΙΚΑΙΟΠΟΛΙΣ τί δαὶ σύ; τρώγοις ἄν; ΚΟΡΑ κοῖ κοῖ κοῖ.
*what then you would-you-eat — oink oink oink*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.
*how shrill at the figs you-have-squealed*
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων
*let-bring someone from-inside of-the figs*
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί,
*the piglets — will-they-eat wow*
οἷον ῥοθιάζουσ' ὦ πολυτίμηθ' Ἡράκλεις.
*how they-gobble O much-honored Heracles*
ποδαπὰ τὰ χοιρί'; ὡς Τραγασαῖα φαίνεται.
*from-where the piglets as Tragasaean they-appear*
ΜΕΓΑΡΕΥΣ ἀλλ' οὔτι πάσας κατέτραγον τὰς ἰσχάδας.
*but not-at-all all they-ate-up the figs*
ἐγὼ γὰρ αὐτᾶν τάνδε μίαν ἀνειλόμαν.
*I for of-them this one picked-up*
ΔΙΚΑΙΟΠΟΛΙΣ νὴ τὸν Δί' ἀστείω γε τὼ βοσκήματε·
*by — Zeus pretty at-least the two-beasts*
πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε.
*for-how-much shall-I-buy from-you the piglets say*
ΜΕΓΑΡΕΥΣ τὸ μὲν ἄτερον τούτων σκορόδων τροπαλίδος,
*the indeed one of-these of-garlic for-a-bunch*
τὸ δ' ἄτερον, αἰ λῇς, χοίνικος μόνας ἁλῶν.
*the and other if you-will for-a-quart only of-salt*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὠνήσομαί σοι· περίμεν' αὐτοῦ. ΜΕΓΑΡΕΥΣ ταῦτα δή.
*I-will-buy from-you wait there these indeed*
Ἑρμᾶ 'μπολαῖε τὰν γυναῖκα τὰν ἐμὰν
*Hermes of-trade the wife the my*
οὕτω μ' ἀποδόσθαι τάν τ' ἐμωυτῶ ματέρα.
*so me to-sell the and my-own mother*

ΣΥΚΟΦΑΝΤΗΣ ὦνθρωπϵ ποδαπός;
*O-man of-what-country*
ΜΕΓΑΡΕΥΣ χοιροπώλας Μεγαρικός.
*pig-seller Megarian*
ΣΥΚΟΦΑΝΤΗΣ τὰ χοιρίδια τοίνυν ἐγὼ φανῶ ταδὶ
*the piglets well-then I will-denounce these-here*
820 πολέμια καὶ σέ. ΜΕΓΑΡΕΥΣ τοῦτ' ἐκεῖν', ἵκει πάλιν
*hostile and you this that comes again*
ὅθϵνπϵρ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
*whence-indeed beginning of-the evils to-us arose*
ΣΥΚΟΦΑΝΤΗΣ κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
*weeping you-will-Megarize not will-you-let-go the sack*
ΜΕΓΑΡΕΥΣ Δικαιόπολι Δικαιόπολι φαντάδδομαι.
*Dicaeopolis Dicaeopolis I-am-denounced*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὑπὸ τοῦ; τίς ὁ φαίνων σ' ἐστίν; ἀγορανόμοι,
*by whom who the denouncing you is market-overseers*
825 τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετϵ;
*the informers not out-of-doors will-you-shut-out*
τί δὴ μαθὼν φαίνϵις ἄνϵυ θρυαλλίδος;
*what indeed having-learned do-you-show-up without lamp-wick*
ΣΥΚΟΦΑΝΤΗΣ οὐ γὰρ φανῶ τοὺς πολεμίους;
*not for shall-I-denounce the enemies*
ΔΙΚΑΙΟΠΟΛΙΣ κλάων γϵ σύ,
*weeping at-least you*
ϵἰ μὴ 'τέρωσϵ συκοφαντήσϵις τρέχων.
*if not elsewhere you-will-inform running*
ΜΕΓΑΡΕΥΣ οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι.
*what the evil in — Athens this is-in*

ΔΙΚΑΙΟΠΟΛΙΣ θάρρει Μεγαρίκ'· ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου 830
*cheer-up Megarian but for-which the piglets you-sold*
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας,
*as-price take these-here the garlic and the salt*
καὶ χαῖρε πόλλ'. ΜΕΓΑΡΕΥΣ ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.
*and fare-well much but to-us not customary*
ΔΙΚΑΙΟΠΟΛΙΣ πολυπραγμοσύνη νυν ἐς κεφαλὴν τράποιτ' ἐμοί.
*meddlesomeness then on head may-turn my*
ΜΕΓΑΡΕΥΣ ὦ χοιρίδια πειρῆσθε κἄνις τῶ πατρὸς
*O piglets try-to and-without the father*
παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν, αἴκα τις διδῷ. 835
*to-strike at salt the barley-cake if any gives*

## IX · THE HAPPY MAN

*The chorus marvels at Dicaeopolis' good fortune: sitting in his market, he will be free of informers and jostlers, of Cleonymus and Hyperbolus, of Cratinus, Artemon, and Pauson, and of the starving Lysistratus.*

ΧΟΡΟΣ εὐδαιμονεῖ γ' ἄνθρωπος. οὐκ ἤκουσας οἳ προβαίνει
*prospers at-least the-man not did-you-hear where advances*
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἀνὴρ
*the affair of-the plan will-reap-the-fruit for the-man*
ἐν τἀγορᾷ καθήμενος·
*in the-market sitting*
κἂν εἰσίῃ τις Κτησίας
*and-if comes-in some Ctesias*
ἢ συκοφάντης ἄλλος, οἰμώζων 840
*or informer other wailing*

καθεδεῖται·
*he-will-sit-down*

οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖ τι,
*nor other of-men forestalling-the-market you will-harm at-all*

οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι,
*nor will-wipe-off Prepis the wide-assedness on-you*

οὐδ' ὠστιεῖ Κλεωνύμῳ·
*nor you-will-jostle with-Cleonymus*

χλαῖναν δ' ἔχων φανὴν δίει
*cloak and having bright you-will-go-through*

κοὐ ξυντυχών σ' Ὑπέρβολος
*and-not meeting you Hyperbolus*

δικῶν ἀναπλήσει·
*with-suits will-fill*

οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόσεισί σοι βαδίζων
*nor meeting in the-market will-approach you walking*

Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ,
*Cratinus always shorn adulterer-style with-one razor*

ὁ περιπόνηρος Ἀρτέμων,
*the very-wicked Artemon*

ὁ ταχὺς ἄγαν τὴν μουσικήν,
*the quick too-much the music*

ὄζων κακὸν τῶν μασχαλῶν
*smelling evil of-the armpits*

πατρὸς Τραγασαίου·
*of-father Tragasaean*

οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος
*nor again in-turn you will-mock Pauson the all-wicked*

Λυσίστρατός τ' ἐν τἀγορᾷ, Χολαργέων ὄνειδος,
*Lysistratus and in the-market of-Cholargians disgrace*

ὁ περιαλουργὸς τοῖς κακοῖς,
*the deep-dyed in-the evils*
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
*shivering both and starving always*
πλεῖν ἢ τριάκονθ' ἡμέρας
*more than thirty days*
τοῦ μηνὸς ἑκάστου.
*of-the month each*

## X · THE BOEOTIAN

*A Boeotian arrives with pipers and a load of game and birds, above all the long-missed Copaic eels, which Dicaeopolis welcomes like a tragic heroine. The Boeotian wants in return something Athens has and Boeotia lacks, and Dicaeopolis offers an informer; when Nicarchus comes to denounce the lamp-wicks as enemy goods that could fire the dockyard, Dicaeopolis has him gagged and calls for straw to pack him like pottery.*

ΒΟΙΩΤΟΣ ἴττω Ἡρακλῆς ἔκαμόν γα τὰν τύλαν κακῶς·
*know-it Heracles I-am-worn at-least the cushion badly*
κατάθου τὺ τὰν γλάχων' ἀτρέμας Ἰσμηνία·
*set-down you the pennyroyal gently Ismenias*
ὑμὲς δ' ὅσοι Θείβαθεν αὐληταὶ πάρα
*you and as-many-as from-Thebes pipers are-here*
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
*on-the bone-pipes blow the ass of-dog*
ΔΙΚΑΙΟΠΟΛΙΣ παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
*stop to crows the wasps not from the doors*
πόθεν προσέπτονθ' οἱ κακῶς ἀπολούμενοι
*whence flew-to the badly to-perish*

ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;
*to the door to-me Chairis-sons drone-pipers*

ΒΟΙΩΤΟΣ νεὶ τὸν Ἰόλαον ἐπεχαρίττα γ' ὦ ξένε·
*by — Iolaus graceful at-least O stranger*

Θείβαθε γὰρ φυσᾶντες ἐξόπισθέ μου
*from-Thebes for blowing behind me*

τἄνθια τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.
*the-flowers of-the pennyroyal they-blew-off to-the-ground*

ἀλλ' εἴ τι βούλει, πρίασο τῶν ἐγὼ φέρω
*but if anything you-wish buy of-what I bring*

τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.
*of-the fowls or of-the four-winged-ones*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον.
*O hail bread-roll-eater little-Boeotian*

τί φέρεις; ΒΟΙΩΤΟΣ ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
*what do-you-bring as-many-as are good-things for-Boeotians simply*

ὀρίγανον γλαχὼ ψιάθως θρυαλλίδας
*marjoram pennyroyal mats lamp-wicks*

νάσσας κολοιὼς ἀτταγᾶς φαλαρίδας
*ducks jackdaws francolins coots*

τροχίλως κολύμβως. ΔΙΚΑΙΟΠΟΛΙΣ ὡσπερεὶ χειμὼν ἄρα
*wrens divers as-if storm then*

ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας.
*bird-laden to the market you-have-come*

ΒΟΙΩΤΟΣ καὶ μὰν φέρω χᾶνας λαγὼς ἀλώπεκας
*and truly I-bring geese hares foxes*

σκάλοπας ἐχίνως αἰελούρως πικτίδας
*moles hedgehogs cats martens*

ἰκτῖδας ἐνύδρως ἐγχέλεις Κωπαΐδας.
*weasels otters eels Copaic*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
*O most-delightful you morsel to-men bringing*
δός μοι προσειπεῖν, εἰ φέρεις, τὰς ἐγχέλεις.
*let me to-greet if you-bring the eels*
ΒΟΙΩΤΟΣ πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν,
*eldest fifty of-Copaic maidens*
ἔκβαθι τῶδε κἠπιχάριτται τῷ ξένῳ.
*step-out here and-be-gracious to-the stranger*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη, 885
*O dearest you and long-since longed-for*
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
*you-came longed-for indeed by-comic choruses*
φίλη δὲ Μορύχῳ. δμῶες ἐξενέγκατε
*dear and to-Morychus slaves bring-out*
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
*the brazier to-me here and the fan*
σκέψασθε παῖδες τὴν ἀρίστην ἔγχελυν,
*look boys the best eel*
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην· 890
*having-come in-the-sixth hardly year longed-for*
προσείπατ' αὐτὴν ὦ τέκν'· ἄνθρακας δ' ἐγὼ
*greet her O children charcoal and I*
ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
*to-you will-provide this the stranger for-the-sake*
ἀλλ' ἔσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
*but bring-in her not-even for having-died ever*
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
*from-you apart may-I-be wrapped-in-beet*
ΒΟΙΩΤΟΣ ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾷ γενήσεται; 895
*to-me and price of-this how will-come*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί·
*of-the-market toll this at-least surely you-will-give me*
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων λέγε.
*but if anything you-sell of-these the others say*
ΒΟΙΩΤΟΣ ἰώγα ταῦτα πάντα. ΔΙΚΑΙΟΠΟΛΙΣ φέρε πόσου λέγεις;
*I-at-least these all come for-how-much do-you-say*
ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών;
*or cargoes other from-here thither you-will-bring going*
ΒΟΙΩΤΟΣ ὅ τι γ' ἔστ' Ἀθάναις, ἐν Βοιωτοῖσιν δὲ μή.
*what thing at-least is in-Athens among Boeotians and not*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς
*sprats then you-will-bring having-bought Phaleric*
ἢ κέραμον. ΒΟΙΩΤΟΣ ἀφύας ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
*or pottery sprats or pottery but they-are there*
ἀλλ' ὅ τι παρ' ἁμῖν μή 'στι, τᾷδε δ' αὖ πολύ.
*but what thing among us not is here and in-turn much*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἐγῷδα τοίνυν· συκοφάντην ἔξαγε,
*I-know well-then informer export*
ὥσπερ κέραμον ἐνδησάμενος. ΒΟΙΩΤΟΣ νεὶ τὼ θιὼ
*like pottery having-packed by the two-gods*
λάβοιμι μέντἂν κέρδος ἀγαγὼν καὶ πολύ,
*I-would-get surely profit having-brought and much*
ᾥπερ πίθακον ἀλιτρίας πολλᾶς πλέων.
*just-like ape of-mischief much full*
ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.
*and truly this-here Nicarchus comes to-denounce*
ΒΟΙΩΤΟΣ μικκός γα μᾶκος οὗτος. ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ' ἅπαν κακόν.
*small at-least in-length this but all bad*

ΝΙΚΑΡΧΟΣ ταυτὶ τίνος τὰ φορτί' ἐστί; ΒΟΙΩΤΟΣ τῶδ' ἐμὰ
*these-here whose the cargoes are of-this-man mine*
Θείβαθεν, ἴττω Δεύς. ΝΙΚΑΡΧΟΣ ἐγὼ τοίνυν ὁδὶ
*from-Thebes know-it Zeus I well-then this-here*
φαίνω πολέμια ταῦτα. ΒΟΙΩΤΟΣ τί δὲ κακὸν παθὼν
*denounce as-enemy-goods these what and evil having-suffered*
ὀρναπετίοισι πόλεμον ἦρα καὶ μάχαν;
*on-birdlings war you-raised and battle*
ΝΙΚΑΡΧΟΣ καὶ σέ γε φανῶ πρὸς τοῖσδε.
*and you at-least I-will-denounce besides these*
ΒΟΙΩΤΟΣ τί ἀδικείμενος;
*what being-wronged*
ΝΙΚΑΡΧΟΣ ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν·
*I will-tell you of-the bystanders for-the-sake*
ἐκ τῶν πολεμίων γ' εἰσάγεις θρυαλλίδας.
*from the enemies at-least you-bring-in lamp-wicks*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἔπειτα φαίνεις δῆτα διὰ θρυαλλίδα;
*then you-denounce then because-of lamp-wick*
ΝΙΚΑΡΧΟΣ αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.
*it for would-set-fire — the dockyard*
ΔΙΚΑΙΟΠΟΛΙΣ νεώριον θρυαλλίς; ΝΙΚΑΡΧΟΣ οἶμαι·
*dockyard lamp-wick I-suppose*
ΔΙΚΑΙΟΠΟΛΙΣ τίνι τρόπῳ;
*in-what way*
ΝΙΚΑΡΧΟΣ ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος
*having-put-in — into water-beetle man Boeotian*
ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον
*having-lit — would-send-in into the dockyard*
δι' ὑδρορρόας, βορέαν ἐπιτηρήσας μέγαν.
*through gutters north-wind watching-for great*

κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
*and-if-indeed should-catch of-the ships the fire once*
σελαγοῖντ' ἂν εὐθύς. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ κάκιστ' ἀπολούμενε,
*they-would-blaze — at-once O most-vilely to-perish*
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;
*they-would-blaze — from water-beetle both and lamp-wick*
ΝΙΚΑΡΧΟΣ μαρτύρομαι. ΔΙΚΑΙΟΠΟΛΙΣ ξυλλάμβαν' αὐτοῦ τὸ στόμα·
*I-call-to-witness hold of-him the mouth*
δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω
*give me straw so-that him having-packed I-may-carry*
ὥσπερ κέραμον ἵνα μὴ καταγῇ φερόμενος.
*like pottery so-that not it-may-break being-carried*

## XI · THE INFORMER PACKED

*Dicaeopolis and the chorus truss Nicarchus up as a chattering, fire-cracked pot that makes an all-purpose vessel, good for a mixing bowl of evils or a lamp to show up officials, and strong if hung head down. The Boeotian shoulders him to carry home, and Dicaeopolis tells the Boeotian he will prosper in informers at least.*

ΧΟΡΟΣ ἔνδησον ὦ βέλτιστε τῷ
*pack O best for-the*
ξένῳ καλῶς τὴν ἐμπολήν
*stranger well the purchase*
οὕτως ὅπως
*so that*
ἂν μὴ φέρων κατάξῃ.
*— not carrying he-may-break*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμοὶ μελήσει ταῦτ', ἐπεί
*to-me will-be-a-care these since*
τοι καὶ ψοφεῖ λάλον τι καὶ
*surely also it-rings chattering something and*
πυρορραγὲς
*fire-cracked*
κἄλλως θεοῖσιν ἐχθρόν.
*and-otherwise to-the-gods hateful*
ΧΟΡΟΣ τί χρήσεταί ποτ' αὐτῷ; 935
*what will-he-use ever it*
ΔΙΚΑΙΟΠΟΛΙΣ πάγχρηστον ἄγγος ἔσται,
*all-useful vessel it-will-be*
κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
*mixing-bowl of-evils mortar of-suits*
φαίνειν ὑπευθύνους λυχνοῦχος
*to-denounce accountable-officers lamp-stand*
καὶ κύλιξ —
*and cup*
καὶ πράγματ' ἐγκυκᾶσθαι.
*and troubles to-be-stirred-up*
ΧΟΡΟΣ πῶς δ' ἂν πεποιθοίη τις ἀγγείῳ 940
*how and — could-trust anyone in-vessel*
τοιούτῳ χρώμενος
*such using*
κατ' οἰκίαν
*at home*
τοσόνδ' ἀεὶ ψοφοῦντι;
*so-much always ringing*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἰσχυρόν ἐστιν ὦγάθ', ὥστ'
*strong it-is good-sir so-that*
οὐκ ἂν καταγείη ποτ', εἴπερ
*not — it-would-break ever if-indeed*
ἐκ ποδῶν
*by the-feet*
945 κατωκάρα κρέμαιτο.
*head-down it-should-hang*
ΧΟΡΟΣ ἤδη καλῶς ἔχει σοι.
*already well it-is for-you*
ΒΟΙΩΤΟΣ μέλλω γά τοι θερίδδειν.
*I-am-about at-least surely to-reap*
ΧΟΡΟΣ ἀλλ' ὦ ξένων βέλτιστε συνθέριζε
*but O of-strangers best reap-with-me*
καὶ τοῦτον λαβὼν
*and this-one having-taken*
950 πρόσβαλλ' ὅποι βούλει φέρων
*throw-down wherever you-wish carrying*
πρὸς πάντα συκοφάντην.
*against every informer*
ΔΙΚΑΙΟΠΟΛΙΣ μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.
*hardly at-least I-packed the badly to-perish*
αἶρου λαβὼν τὸν κέραμον ὦ Βοιώτιε.
*lift having-taken the pottery O Boeotian*
ΒΟΙΩΤΟΣ ὑπόκυπτε τὰν τύλαν ἰὼν Ἰσμήνιχε.
*stoop-under the cushion going Ismenichus*
955 ΔΙΚΑΙΟΠΟΛΙΣ χὤπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
*and-see-that you-carry-down him being-careful*
πάντως μὲν οἴσεις οὐδὲν ὑγιές, ἀλλ' ὅμως·
*in-any-case indeed you-will-carry nothing sound but nevertheless*

κἂν τοῦτο κερδήνῃς ἄγων τὸ φορτίον,
*and-if this you-profit bringing the cargo*
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.
*you-will-prosper of-informers at-least on-account-of*

## XII · LAMACHUS' SERVANT

*Dicaeopolis will not sell Lamachus' servant thrushes and an eel for the Pitchers festival, even for the Gorgon shield, and goes in with his load of birds.*

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ Δικαιόπολι. ΔΙΚΑΙΟΠΟΛΙΣ τίς ἔστι;
*Dicaeopolis who is-it*
τί με βωστρεῖς; ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ ὅ τι;
*why me do-you-shout what thing*
ἐκέλευε Λάμαχός σε ταυτησὶ δραχμῆς
*bade Lamachus you for-this-here drachma*
ἐς τοὺς Χοᾶς αὑτῷ μεταδοῦναι τῶν κιχλῶν,
*for the Pitchers for-him to-share of-the thrushes*
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπᾶδ' ἔγχελυν.
*for-three drachmas and he-bade Copaic eel*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν;
*the what-sort this Lamachus the eel*
ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ ὁ δεινός, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα
*the terrible the ox-hide-shielded who the Gorgon*
πάλλει κραδαίνων τρισὶ κατάσκιος λόφοις.
*brandishes shaking with-three overshadowed crests*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἂν μὰ Δί' εἰ δοίη γέ μοι τὴν ἀσπίδα·
*not — by Zeus if he-gave at-least me the shield*
ἀλλ' ἐπὶ ταρίχει τοὺς λόφους κραδαινέτω·
*but over salt-fish the crests let-him-shake*

ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
*if and he-makes-a-row the market-overseers I-call*
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
*I and for-myself this having-taken the cargo*
εἴσειμ' ὑπαὶ πτερύγων κιχλᾶν καὶ κοψίχων.
*will-go-in under wings of-thrushes and blackbirds*

## XIII · RECONCILIATION

*The chorus admires the wise man who has goods to eat and sell, and swears never to welcome War, a drunken brawler who burned their vine props and spilled their wine. They hail Reconciliation, foster sister of Cypris and the Graces, and long to plant vines, figs, and olives with her.*

ΧΟΡΟΣ εἶδες ὦ εἶδες ὦ πᾶσα πόλι
*did-you-see O did-you-see O all city*
τὸν φρόνιμον ἄνδρα τὸν ὑπέρσοφον,
*the shrewd man the over-wise*
οἷ' ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν,
*what-things he-has having-made-truce merchant goods to-trade*
ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα,
*of-which the indeed in house useful*
τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν.
*the and in-turn befit warm to-eat-up*
αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται.
*of-themselves all good-things for-this-man at-least are-provided*
οὐδέποτ' ἐγὼ Πόλεμον οἴκαδ' ὑποδέξομαι,
*never I War home will-receive*
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται
*nor at my-house ever — Harmodius shall-be-sing*

ξυγκατακλινείς, ὅτι παροινικὸς ἀνὴρ ἔφυ,
*reclining-beside because drunken-brawling man he-is*
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας
*who upon all-things good having having-come-reveling*
ἠργάσατο πάντα κακά, κἀνέτρεπε κἀξέχει
*worked all evils and-overturned and-poured-out*
κἀμάχετο καὶ προσέτι πολλὰ προκαλουμένου
*and-fought and besides much while-I-invited*
"πῖνε κατάκεισο λαβὲ τήνδε φιλοτησίαν" 985
*drink recline take this loving-cup*
τὰς χάρακας ἥπτε πολὺ μᾶλλον ἐν τῷ πυρί,
*the vine-props he-burned much more in the fire*
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.
*poured-out and our by-force the wine from the vines*
οὑτοσὶ δ' ἐπτέρωταί τ' ἐπὶ τὸ δεῖπνον
*this-here and has-winged-himself and for the dinner*
ἅμα καὶ μεγάλα δὴ φρονεῖ,
*at-once and great-things indeed thinks*
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα
*of-the life and he-has-thrown-out sample*
τάδε τὰ πτερὰ πρὸ τῶν θυρῶν.
*these the feathers before the doors*
ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι
*O to-Cypris the fair and to-Graces*
ταῖς φίλαις ξύντροφε Διαλλαγή,
*the dear foster-sister Reconciliation*
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες. 990
*how fair having the face then you-escaped-notice*
πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβών,
*how — me and you some Eros might-bring-together having-taken*

ὥσπερ ὁ γεγραμμένος ἔχων στέφανον ἀνθέμων.
*like the painted having garland of-flowers*
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ;
*or quite little-old-man perhaps you-have-thought me you*
ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν·
*but you having-taken three-things I-think at-least — still to-thrust*
995 πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν,
*first indeed — of-vine row to-drive long*
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων,
*then beside this new shoots of-fig-trees*
καὶ τὸ τρίτον ἡμερίδος ὄρχον, ὁ γέρων ὁδί,
*and the third of-cultivated-vine row the old-man this-here*
καὶ περὶ τὸ χωρίον ἐλᾷδας ἅπαν ἐν κύκλῳ,
*and around the plot olive-trees all in circle*
ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.
*so-that to-anoint you from them and-me on-the new-moons*

## XIV · THE PITCHERS

*A herald proclaims the drinking contest of the Pitchers, and Dicaeopolis' household falls to cooking. A farmer who has lost his oxen begs a drop of peace for his eyes and is sent away; Dicaeopolis also refuses a bridegroom, but gives the bride a drop to anoint her husband's cock so he can stay home from the war, since she is a woman and not to blame for it.*

1000 ΚΗΡΥΞ ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς Χοᾶς
*hear people according-to the ancestral-customs the Pitchers*
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
*to-drink at the trumpet who and — drinks-up*
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
*very-first skin of-Ctesiphon will-get*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ παῖδες ὦ γυναῖκες οὐκ ἠκούσατε;
*O boys O women not did-you-hear*

τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
*what are-you-doing the herald not do-you-hear*

ἀναβράττετ' ἐξοπτᾶτε τρέπετ' ἀφέλκετε
*boil-up roast-well turn draw-off*

τὰ λαγῷα ταχέως, τοὺς στεφάνους ἀνείρετε.
*the hare-meat quickly the garlands string-up*

φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.
*bring the little-spits so-that I-may-spit the thrushes*

ΧΟΡΟΣ ζηλῶ σε τῆς εὐβουλίας,
*I-envy you for-the good-counsel*

μᾶλλον δὲ τῆς εὐωχίας
*more and for-the feasting*

ἄνθρωπε τῆς παρούσης.
*man the present*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί δῆτ' ἐπειδὰν τὰς κίχλας ὀπτωμένας ἴδητε;
*what then when the thrushes roasting you-see*

ΧΟΡΟΣ οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.
*I-think you also this well to-say*

ΔΙΚΑΙΟΠΟΛΙΣ τὸ πῦρ ὑποσκάλευε.
*the fire stir-up*

ΧΟΡΟΣ ἤκουσας ὡς μαγειρικῶς
*did-you-hear how cook-like*

κομψῶς τε καὶ δειπνητικῶς
*elegantly both and dinner-wise*

αὑτῷ διακονεῖται;
*for-himself he-serves*

ΓΕΩΡΓΟΣ οἴμοι τάλας. ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ Ἡράκλεις τίς οὑτοσί;
*ah-me wretched O Heracles who this-here*

ΓΕΩΡΓΟΣ ἀνὴρ κακοδαίμων. ΔΙΚΑΙΟΠΟΛΙΣ κατὰ σεαυτόν νυν τρέπου.
*man ill-starred by yourself now turn*

ΓΕΩΡΓΟΣ ὦ φίλτατε, σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ,
*O dearest truce for are for-you alone*

μέτρησον εἰρήνης τί μοι, κἂν πέντ᾽ ἔτη.
*measure of-peace something to-me even-if five years*

ΔΙΚΑΙΟΠΟΛΙΣ τί δ᾽ ἔπαθες;
*what and did-you-suffer*

ΓΕΩΡΓΟΣ ἐπετρίβην ἀπολέσας τὼ βόε.
*I-was-ruined having-lost the two-oxen*

ΔΙΚΑΙΟΠΟΛΙΣ πόθεν; ΓΕΩΡΓΟΣ ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
*whence from Phyle took the Boeotians*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦ τρισκακόδαιμον εἶτα λευκὸν ἀμπέχει;
*O thrice-ill-starred then white you-wear*

ΓΕΩΡΓΟΣ καὶ ταῦτα μέντοι νὴ Δί᾽ ὥπερ μ᾽ ἐτρεφέτην
*and these surely by Zeus which me reared*

ἐν πᾶσι βολίτοις. ΔΙΚΑΙΟΠΟΛΙΣ εἶτα νυνὶ τοῦ δέει;
*in all dung then now of-what do-you-need*

ΓΕΩΡΓΟΣ ἀπόλωλα τὼφθαλμὼ δακρύων τὼ βόε.
*I-have-lost the-two-eyes weeping-for the two-oxen*

ἀλλ᾽ εἴ τι κήδει Δερκέτου Φυλασίου,
*but if at-all you-care-for Dercetes of-Phyle*

ὑπάλειψον εἰρήνῃ με τὼφθαλμὼ ταχύ.
*anoint with-peace me the-two-eyes quickly*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ᾽ ὦ πόνηρ᾽ οὐ δημοσιεύων τυγχάνω.
*but O wretch not public-physician I-happen-to-be*

ΓΕΩΡΓΟΣ ἴθ᾽ ἀντιβολῶ σ᾽, ἤν πως κομίσωμαι τὼ βόε.
*come I-beg you if somehow I-may-recover the two-oxen*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἔστιν, ἀλλὰ κλαῖε πρὸς τοὺς Πιττάλου.
*not it-is but weep to the of-Pittalus*

ΓΕΩΡΓΟΣ σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
*you and but to-me drop of-peace one*
ἐς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
*into the little-reed drip this-here*
ΔΙΚΑΙΟΠΟΛΙΣ οὐδ' ἂν στριβιλικίγξ· ἀλλ' ἀπιὼν οἴμωζέ ποι. 1035
*not-even — a-squeak but going-off wail somewhere*
ΓΕΩΡΓΟΣ οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.
*ah-me ill-starred for-the farming little-oxen*
ΧΟΡΟΣ ἀνὴρ ἀνηύρηκέν τι ταῖς
*the-man has-found something in-the*
σπονδαῖσιν ἡδύ, κοὐκ ἔοικεν
*truce sweet and-not he-seems*
οὐδενὶ μεταδώσειν.
*to-no-one to-give-a-share*
ΔΙΚΑΙΟΠΟΛΙΣ κατάχει σὺ τῆς χορδῆς τὸ μέλι, 1040
*pour-down you on-the sausage the honey*
τὰς σηπίας στάθευε.
*the cuttlefish fry*
ΧΟΡΟΣ ἤκουσας ὀρθιασμάτων; ΔΙΚΑΙΟΠΟΛΙΣ ὀπτᾶτε τἀγχέλεια.
*did-you-hear of-high-pitched-cries roast the-eels*
ΧΟΡΟΣ ἀποκτενεῖς λιμῷ 'μὲ καὶ
*you-will-kill with-hunger me and*
τοὺς γείτονας κνίσῃ τε καὶ 1045
*the neighbors with-savor both and*
φωνῇ τοιαῦτα λάσκων.
*with-voice such-things crying*
ΔΙΚΑΙΟΠΟΛΙΣ ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.
*roast these-here and well brown*
ΠΑΡΑΝΥΜΦΟΣ Δικαιόπολι. ΔΙΚΑΙΟΠΟΛΙΣ τίς οὑτοσί; τίς οὑτοσί;
*Dicaeopolis who this-here who this-here*

ΠΑΡΑΝΥΜΦΟΣ ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
*sent someone to-you bridegroom these-here meats*
ἐκ τῶν γάμων. ΔΙΚΑΙΟΠΟΛΙΣ καλῶς γε ποιῶν ὅστις ἦν.
*from the wedding well at-least doing whoever he-was*
ΠΑΡΑΝΥΜΦΟΣ ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν,
*he-bade and to-pour you of-the meats in-return*
ἵνα μὴ στρατεύοιτ' ἀλλὰ βινοίη μένων,
*so-that not he-might-serve but might-fuck staying*
ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
*into the flask ladle of-peace one*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀπόφερ' ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
*take-away take-away the meats and not to-me give*
ὡς οὐκ ἂν ἐγχέαιμι μυρίων δραχμῶν.
*since not — I-would-pour for-ten-thousand drachmas*
ἀλλ' αὑτηὶ τίς ἔστιν; ΠΑΡΑΝΥΜΦΟΣ ἡ νυμφεύτρια
*but this-here who is the bridesmaid*
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.
*she-asks from the bride something to-you to-say alone*
ΔΙΚΑΙΟΠΟΛΙΣ φέρε δὴ τί σὺ λέγεις; ὡς γέλοιον ὦ θεοὶ
*come now what you say how laughable O gods*
τὸ δέημα τῆς νύμφης ὃ δεῖταί μου σφόδρα,
*the request of-the bride which she-needs of-me much*
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
*so-that — may-keep-house the cock of-the bridegroom*
φέρε δεῦρο τὰς σπονδάς, ἵν' αὐτῇ δῶ μόνῃ,
*bring here the truce so-that to-her I-may-give alone*
ὁτιὴ γυνή 'στι τοῦ πολέμου τ' οὐκ αἰτία.
*because woman she-is of-the war and not to-blame*
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον ὦ γύναι.
*hold-under so here the-ointment-box O woman*

οἶσθ᾽ ὡς ποιεῖτε; τοῦτο τῇ νύμφῃ φράσον,
*do-you-know how you-do this to-the bride tell*
ὅταν στρατιώτας καταλέγωσι, τουτῳὶ
*when soldiers they-enroll with-this-here*
νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
*by-night let-her-anoint the cock of-the bridegroom*
ἀπόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν,
*take-away the truce bring the wine-ladle*
ἵν᾽ οἶνον ἐγχέω λαβὼν ἐς τοὺς Χοᾶς.
*so-that wine I-may-pour having-taken for the Pitchers*

## XV · ARMS AND THE FEAST

*A messenger orders Lamachus to march out at once against Boeotian raiders, while another summons Dicaeopolis to the priest's dinner. The two pack side by side, crest against thrush, shield against flat cake, breastplate against pitcher, Lamachus to snow and Dicaeopolis to a lovely girl. The chorus curses the stingy producer Antimachus.*

ΧΟΡΟΣ καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς·
*and truly this-here someone the brows having-drawn-up*
ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.
*as-if something terrible about-to-announce hurries*
ΑΓΓΕΛΟΣ Α′ ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
*oh toils both and battles and Lamachuses*
ΛΑΜΑΧΟΣ τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;
*who about bronze-bossed halls knocks*
ΑΓΓΕΛΟΣ Α′ ἰέναι σ᾽ ἐκέλευον οἱ στρατηγοὶ τήμερον
*to-go you bade the generals today*
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους·
*quickly taking the companies and the crests*

καἄπειτα τηρεῖν νειφόμενον τὰς ἐσβολάς.
*and-then to-watch being-snowed-on the passes*
ὑπὸ τοὺς Χοᾶς γὰρ καὶ Χύτρους αὐτοῖσί τις
*at the Pitchers for and Pots to-them someone*
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
*announced raiders to-invade Boeotian*
ΛΑΜΑΧΟΣ ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
*oh generals more-numerous than better*
οὐ δεινὰ μὴ ᾽ξεῖναί με μηδ᾽ ἑορτάσαι;
*not terrible not to-be-allowed me nor to-keep-the-feast*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.
*oh army war-Lamachaean*
ΛΑΜΑΧΟΣ οἴμοι κακοδαίμων καταγελᾷς ἤδη σύ μου.
*ah-me ill-starred you-mock already you me*
ΔΙΚΑΙΟΠΟΛΙΣ βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
*do-you-wish to-fight Geryon four-winged*
ΛΑΜΑΧΟΣ αἰαῖ
*alas*
οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
*what the herald news announced to-me*
ΔΙΚΑΙΟΠΟΛΙΣ αἰαῖ τίνα δ᾽ αὖ μοι προστρέχει τις ἀγγελῶν;
*alas what and in-turn to-me runs-up someone to-announce*
ΑΓΓΕΛΟΣ Β′ Δικαιόπολι. ΔΙΚΑΙΟΠΟΛΙΣ τί ἔστιν;
*Dicaeopolis what is-it*
ΑΓΓΕΛΟΣ Β′ ἐπὶ δεῖπνον ταχὺ
*to dinner quickly*
βάδιζε τὴν κίστην λαβὼν καὶ τὸν χοᾶ.
*walk the box having-taken and the pitcher*
ὁ τοῦ Διονύσου γάρ σ᾽ ἱερεὺς μεταπέμπεται.
*the — of-Dionysus for you priest summons*

ἀλλ᾽ ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι.
*but hurry to-dine you-are-holding-up long-since*
τὰ δ᾽ ἄλλα πάντ᾽ ἐστὶν παρεσκευασμένα,
*the and other all are prepared*
κλῖναι τράπεζαι προσκεφάλαια στρώματα
*couches tables pillows coverlets*
στέφανοι μύρον τραγήμαθ᾽, αἱ πόρναι πάρα,
*garlands perfume sweets the whores are-here*
ἄμυλοι πλακοῦντες σησαμοῦντες ἴτρια,
*cakes flat-cakes sesame-cakes honey-cakes*
ὀρχηστρίδες, τὰ φίλταθ᾽ Ἁρμοδίου, καλαί.
*dancing-girls the dearest of-Harmodius fair*
ἀλλ᾽ ὡς τάχιστα σπεῦδε. ΛΑΜΑΧΟΣ κακοδαίμων ἐγώ.
*but as quickly-as-possible hurry ill-starred I*
ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
*and for you great painted-on-as-device the Gorgon*
σύγκλῃε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
*close-up and dinner someone let-pack*
ΛΑΜΑΧΟΣ παῖ παῖ φέρ᾽ ἔξω δεῦρο τὸν γυλιὸν ἐμοί.
*boy boy bring out here the knapsack for-me*
ΔΙΚΑΙΟΠΟΛΙΣ παῖ παῖ φέρ᾽ ἔξω δεῦρο τὴν κίστην ἐμοί.
*boy boy bring out here the box for-me*
ΛΑΜΑΧΟΣ ἅλας θυμίτας οἶσε παῖ καὶ κρόμμυα.
*salt thyme-flavored bring boy and onions*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
*for-me and slices with-onions for I-am-sick*
ΛΑΜΑΧΟΣ θρῖον ταρίχους οἶσε δεῦρο παῖ σαπροῦ.
*fig-leaf of-salt-fish bring here boy rotten*
ΔΙΚΑΙΟΠΟΛΙΣ κἀμοὶ σὺ δημοῦ θρῖον· ὀπτήσω δ᾽ ἐκεῖ.
*and-for-me you of-fat fig-leaf I-will-roast and there*

ΛΑΜΑΧΟΣ ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ ’κ τοῦ κράνους.
*bring here the two-feathers the from the helmet*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
*for-me and the doves at-least bring and the thrushes*

ΛΑΜΑΧΟΣ καλόν γε καὶ λευκὸν τὸ τῆς στρούθου πτερόν.
*fine at-least and white the of-the ostrich feather*

ΔΙΚΑΙΟΠΟΛΙΣ καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
*fine at-least and golden the of-the dove meat*

ΛΑΜΑΧΟΣ ὦνθρωπε παῦσαι καταγελῶν μου τῶν ὅπλων.
*O-man stop mocking of-me the arms*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὦνθρωπε βούλει μὴ βλέπειν ἐς τὰς κίχλας;
*O-man do-you-wish not to-look at the thrushes*

ΛΑΜΑΧΟΣ τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
*the crest-case bring-out of-the three crests*

ΔΙΚΑΙΟΠΟΛΙΣ κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
*and-to-me little-dish of-the hare give meats*

ΛΑΜΑΧΟΣ ἀλλ’ ἢ τριχόβρωτες τοὺς λόφους που κατέφαγον.
*but — hair-eaters the crests somewhere ate-up*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ’ ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
*but — before dinner the jugged-hare I-will-eat-up*

ΛΑΜΑΧΟΣ ὦνθρωπε βούλει μὴ προσαγορεύειν ἐμέ;
*O-man do-you-wish not to-address me*

ΔΙΚΑΙΟΠΟΛΙΣ οὐκ ἀλλ’ ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.
*no but I and-the boy we-dispute long-since*

βούλει περιδόσθαι κἀπιτρέψαι Λαμάχῳ,
*do-you-wish to-wager and-to-refer to-Lamachus*

πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;
*whether locusts sweeter is or thrushes*

ΛΑΜΑΧΟΣ οἴμ’ ὡς ὑβρίζεις. ΔΙΚΑΙΟΠΟΛΙΣ τὰς ἀκρίδας κρίνει πολύ.
*ah-me how you-insult the locusts he-judges by-far*

ΛΑΜΑΧΟΣ παῖ παῖ καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
*boy boy taking-down for-me the spear here out bring*

ΔΙΚΑΙΟΠΟΛΙΣ παῖ παῖ σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
*boy boy you and taking-off here the sausage bring*

ΛΑΜΑΧΟΣ φέρε τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον. 1120
*come of-the spear let-me-draw-off the-case*

ἔχ', ἀντέχου παῖ. ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ σὺ παῖ τοῦδ' ἀντέχου.
*hold hold-on boy and you boy this hold-on*

ΛΑΜΑΧΟΣ τοὺς κιλλίβαντας οἶσε παῖ τῆς ἀσπίδος.
*the props bring boy of-the shield*

ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
*and of-the my the oven-loaves bring-out*

ΛΑΜΑΧΟΣ φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
*bring here Gorgon-backed of-shield round*

ΔΙΚΑΙΟΠΟΛΙΣ κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον. 1125
*and-to-me of-flat-cake cheese-backed give round*

ΛΑΜΑΧΟΣ ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
*this not mockery is to-men broad*

ΔΙΚΑΙΟΠΟΛΙΣ ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
*this not flat-cake then is to-men sweet*

ΛΑΜΑΧΟΣ κατάχει σὺ παῖ τοὔλαιον. ἐν τῷ χαλκίῳ
*pour-on you boy the-oil in the bronze*

ἐνορῶ γέροντα δειλίας φευξούμενον.
*I-see-in-it old-man for-cowardice to-be-prosecuted*

ΔΙΚΑΙΟΠΟΛΙΣ κατάχει σὺ τὸ μέλι. κἀνθάδ' ἔνδηλος γέρων 1130
*pour-on you the honey and-here plain old-man*

κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.
*to-wail bidding Lamachus the of-Gorgasus*

ΛΑΜΑΧΟΣ φέρε δεῦρο παῖ θώρακα πολεμιστήριον.
*bring here boy breastplate warlike*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἔξαιρε παῖ θώρακα κἀμοὶ τὸν χοᾶ.
*take-out boy breastplate and-for-me the pitcher*

ΛΑΜΑΧΟΣ ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
*in this against the enemies I-will-arm*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.
*in this against the drinking-mates I-will-arm*

ΛΑΜΑΧΟΣ τὰ στρώματ' ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος,
*the coverlets O boy tie from the shield*

ἐγὼ δ' ἐμαυτῷ τὸν γυλιὸν οἴσω λαβών.
*I and for-myself the knapsack will-carry having-taken*

ΔΙΚΑΙΟΠΟΛΙΣ τὸ δεῖπνον ὦ παῖ δῆσον ἐκ τῆς κιστίδος,
*the dinner O boy tie from the box*

ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.
*I and the-cloak having-taken go-out*

ΛΑΜΑΧΟΣ τὴν ἀσπίδ' αἶρου καὶ βάδιζ' ὦ παῖ λαβών.
*the shield lift and walk O boy having-taken*

νείφει. βαβαιάξ· χειμέρια τὰ πράγματα.
*it-snows bless-me wintry the affairs*

ΔΙΚΑΙΟΠΟΛΙΣ αἶρου τὸ δεῖπνον· συμποτικὰ τὰ πράγματα.
*lift the dinner convivial the affairs*

ΧΟΡΟΣ ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.
*go now rejoicing to service*

ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν·
*how unlike you-two-go way*

τῷ μὲν πίνειν στεφανωσαμένῳ,
*for-the-one indeed to-drink garlanded*

σοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
*for-you and to-shiver and to-stand-guard*

τῷ δὲ καθεύδειν
*for-the-other and to-sleep*

μετὰ παιδίσκης ὡραιοτάτης,
*with girl most-lovely*
ἀνατριβομένῳ τε τὸ δεῖνα.
*being-rubbed and the what-d'you-call-it*
Ἀντίμαχον τὸν ψακάδος †τὸν
*Antimachus the son-of-Drizzle the*
ξυγγραφῆ† τὸν μελέων ποιητήν,
*writer the of-lyrics poet*
ὡς μὲν ἁπλῷ λόγῳ, κακῶς ἐξολέσειεν ὁ Ζεύς·
*as indeed simple in-word badly may-destroy — Zeus*
ὅς γ' ἐμὲ τὸν τλήμονα Λήναια χορηγῶν ἀπέλυσ' ἄδειπνον.
*who at-least me the wretched at-Lenaea producing dismissed dinnerless*
ὃν ἔτ' ἐπίδοιμι τευθίδος
*whom still may-I-see of-squid*
δεόμενον, ἡ δ' ὠπτημένη
*needing it and roasted*
σίζουσα πάραλος ἐπὶ τραπέζῃ κειμένη
*hissing seaside on table lying*
ὀκέλλοι· κᾆτα μέλλοντος
*may-run-aground and-then as-he-is-about*
λαβεῖν αὐτοῦ κύων
*to-take of-it dog*
ἁρπάσασα φεύγοι.
*seizing may-flee*
τοῦτο μὲν αὐτῷ κακὸν ἕν, κᾆθ' ἕτερον νυκτερινὸν γένοιτο.
*this indeed to-him evil one and-then another by-night may-happen*
ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων,
*shivering for home from riding walking*
εἶτα κατάξειέ τις αὐτοῦ μεθύων τῆς κεφαλῆς Ὀρέστης
*then may-break someone of-him drunk the head Orestes*

μαινόμενος· ὁ δὲ λίθον βαλεῖν
*raving he and stone to-throw*
βουλόμενος ἐν σκότῳ λάβοι
*wishing in darkness may-take*
τῇ χειρὶ πέλεθον ἀρτίως κεχεσμένον·
*in-the hand turd freshly shat*
ἐπᾴξειεν δ' ἔχων
*may-rush and having*
τὸν μάρμαρον, κἄπειθ' ἁμαρτὼν
*the shining-stone and-then missing*
βάλοι Κρατῖνον.
*may-hit Cratinus*

## XVI · THE RETURN

*A servant reports that Lamachus leaped a ditch, twisted his ankle, and broke his head on a stone. He is carried in groaning, while Dicaeopolis returns drunk on the arms of two girls, mocks his wounds, and goes to the judges to claim the wineskin.*

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ ὦ δμῶες οἳ κατ' οἰκόν ἐστε Λαμάχου,
*O slaves who in house are of-Lamachus*
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
*water water in little-pot heat*
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
*linen-bandages salve prepare*
ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
*wools greasy little-torch around the ankle*
ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
*the-man is-wounded by-stake leaping-over trench*

καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν,
*and the ankle backward twisted-out*
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθῳ πεσών,
*and the head broke on stone falling*
καὶ Γοργόν᾽ ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
*and Gorgon roused from the shield*
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
*feather and the great of-the-boast-bird falling*
πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος·
*by the rocks terrible uttered song*
“ὦ κλεινὸν ὄμμα νῦν πανύστατόν σ᾽ ἰδὼν
*O famous eye now for-the-very-last-time you seeing*
λείπω φάος γε τοὐμόν, οὐκέτ᾽ εἰμ᾽ ἐγώ.”
*I-leave light at-least the-my no-more am I*
τοσαῦτα λέξας εἰς ὑδρορρόαν πεσὼν
*so-much having-spoken into gutter falling*
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις
*stands-up both and meets runaways*
λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί.
*raiders driving and pressing with-spear*
ὁδὶ δὲ καὐτός· ἀλλ᾽ ἄνοιγε τὴν θύραν.
*this-here and and-himself but open the door*
ΛΑΜΑΧΟΣ ἀτταταῖ ἀτταταῖ
*ow ow*
στυγερὰ τάδε γε κρυερὰ πάθεα· τάλας ἐγώ.
*hateful these at-least chilling sufferings wretched I*
διόλλυμαι δορὸς ὑπὸ πολεμίου τυπείς.
*I-am-destroyed by-spear by enemy struck*
ἐκεῖνο δ᾽ οὖν αἰακτὸν ἂν γένοιτο,
*that and then lamentable — would-be*

Δικαιόπολις εἴ μ' ἴδοι τετρωμένον
*Dicaeopolis if me should-see wounded*
κᾆτ' ἐγχάνοι ταῖς ἐμαῖς τύχαισιν.
*and-then should-mock at-the my fortunes*
ΔΙΚΑΙΟΠΟΛΙΣ ἀτταταῖ ἀτταταῖ
*ow ow*
τῶν τιτθίων, ὡς σκληρὰ καὶ κυδώνια.
*the titties how hard and quince-like*
φιλήσατόν με μαλθακῶς ὦ χρυσίω
*kiss-you-two me softly O golden-ones*
τὸ περιπεταστὸν κἀπιμανδαλωτόν.
*the outspread and-tongue-kissing*
***
*(lacuna)*
τὸν γὰρ χοᾶ πρῶτος ἐκπέπωκα.
*the for pitcher first I-have-drunk-up*
ΛΑΜΑΧΟΣ ὦ συμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
*O misfortune wretched of-the my evils*
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.
*oh oh of-wounds painful*
ΔΙΚΑΙΟΠΟΛΙΣ ***
*(lacuna)*
ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.
*hey hey hail Lamachippion*
ΛΑΜΑΧΟΣ στυγερὸς ἐγώ. ΔΙΚΑΙΟΠΟΛΙΣ τί με σὺ κυνεῖς;
*hateful I why me you kiss*
ΛΑΜΑΧΟΣ μογερὸς ἐγώ. ΔΙΚΑΙΟΠΟΛΙΣ τί με σὺ δάκνεις;
*toilsome I why me you bite*
ΛΑΜΑΧΟΣ τάλας ἐγὼ ξυμβολῆς βαρείας.
*wretched I of-reckoning heavy*

ΔΙΚΑΙΟΠΟΛΙΣ τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;
*at-the Pitchers for someone reckonings was-exacting*

ΛΑΜΑΧΟΣ ἰὼ ἰὼ Παιὰν Παιάν.
*oh oh Paean Paean*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἀλλ᾽ οὐχὶ νυνὶ τήμερον Παιώνια.
*but not now today Paeonia*

ΛΑΜΑΧΟΣ λάβεσθέ μου λάβεσθε τοῦ σκέλους παπαῖ,
*take-hold of-me take-hold of-the leg ow*

προσλάβεσθ᾽ ὦ φίλοι. 1215
*take-hold-too O friends*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου
*of-me and at-least you-two the cock both by-the-middle*

προσλάβεσθ᾽ ὦ φίλαι.
*take-hold-too O girls*

ΛΑΜΑΧΟΣ εἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος
*I-am-dizzy in-head with-stone struck*

καὶ σκοτοδινιῶ.
*and I-see-dark*

ΔΙΚΑΙΟΠΟΛΙΣ κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι 1220
*and-I to-sleep wish and have-a-hard-on*

καὶ σκοτοβινιῶ.
*and I-fuck-in-the-dark*

ΛΑΜΑΧΟΣ θύραζέ μ᾽ ἐξενέγκατ᾽ ἐς τοῦ Πιττάλου
*out-of-doors me carry-out to the of-Pittalus*

παιωνίαισι χερσίν.
*with-healing hands*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὡς τοὺς κριτάς με φέρετε· ποῦ ’στιν ὁ βασιλεύς;
*to the judges me carry where is the king-archon*

1225 ἀπόδοτέ μοι τὸν ἀσκόν.
*give-back me the skin*

ΛΑΜΑΧΟΣ λόγχη τις ἐμπέπηγέ μοι δι’ ὀστέων ὀδυρτά.
*spear some has-stuck in-me through bones lamentably*

## XVII · EXIT

*Dicaeopolis shows the empty pitcher, and the chorus follows him out singing his victory.*

ΔΙΚΑΙΟΠΟΛΙΣ ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικος.
*you-see this-here empty tenella glorious-victor*

ΧΟΡΟΣ τήνελλα δῆτ’, εἴπερ καλεῖς γ’, ὦ πρέσβυ, καλλίνικος.
*tenella then if-indeed you-call at-least O old-man glorious-victor*

ΔΙΚΑΙΟΠΟΛΙΣ καὶ πρός γ’ ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
*and besides at-least unmixed having-poured at-one-gulp I-lapped-up*

1230 ΧΟΡΟΣ τήνελλά νυν ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀσκόν.
*tenella now O noble-one go having-taken the skin*

ΔΙΚΑΙΟΠΟΛΙΣ ἕπεσθέ νυν ᾄδοντες ὦ τήνελλα καλλίνικος.
*follow now singing O tenella glorious-victor*

ΧΟΡΟΣ ἀλλ’ ἑψόμεσθα σὴν χάριν
*but we-will-follow for-your sake*

τήνελλα καλλίνικος ᾄδοντες
*tenella glorious-victor singing*

σὲ καὶ τὸν ἀσκόν.
*you and the skin*

ARISTOPHANES

# EIPHNH

*Peace*

## I · THE DUNG BEETLE

*Two slaves knead dung cakes for a giant beetle their master Trygaeus is fattening, and explain to the audience that he is mad in a new way, railing at Zeus for ruining Greece. Trygaeus rises on the beetle like Pegasus to fly to Zeus. At heaven's door Hermes tells him the gods have moved away in anger at the Greeks and left War, who has buried Peace in a cave. War comes out with a great mortar to pound the cities, but his servant Din can find no pestle, since Athens' pestle, the hide-seller, and Sparta's, lent out in Thrace, are both lost, and Trygaeus calls on all Greeks to haul Peace out.*

ΟΙΚΕΤΗΣ Α′ αἶρ᾽ αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
*bring bring cake as quickly-as-possible for-the-beetle*

ΟΙΚΕΤΗΣ Β′ ἰδού. δὸς αὐτῷ, τῷ κάκιστ᾽ ἀπολουμένῳ
*look give to-him the most-vilely who-will-perish*

καὶ μήποτ᾽ αὐτῆς μᾶζαν ἡδίω φάγοι.
*and never than-it cake sweeter may-he-eat*

ΟΙΚΕΤΗΣ Α′ δὸς μᾶζαν ἑτέραν, ἐξ ὀνίδων πεπλασμένην.
*give cake another from donkey-dung kneaded*

ΟΙΚΕΤΗΣ Β′ ἰδοὺ μάλ᾽ αὖθις. ποῦ γὰρ ἦν νῦν δὴ ᾽φερες; 5
*look indeed again where for which now indeed you-were-bringing*

κατέφαγεν; ΟΙΚΕΤΗΣ Α′ οὐ μὰ τὸν Δί᾽ ἀλλ᾽ ἐξαρπάσας
*he-ate-it-up not by — Zeus but snatching*

ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
*whole he-gulped-down rolling-round with-the feet*

ἀλλ᾽ ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.
*but as quickly-as-possible knead many and thick*

ΟΙΚΕΤΗΣ Β′ ἄνδρες κοπρολόγοι προσλάβεσθε πρὸς θεῶν,
*men dung-collectors lend-a-hand by gods*

εἰ μή με βούλεσθ᾽ ἀποπνιγέντα περιδεῖν. 10
*if not me you-wish choked to-overlook*

ΟΙΚΕΤΗΣ Α′ ἑτέραν ἑτέραν δός, παιδὸς ἡταιρηκότος·
*another another give of-boy who-has-prostituted-himself*
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν. ΟΙΚΕΤΗΣ Β′ ἰδού.
*well-kneaded for he-says to-desire look*
ἑνὸς μὲν ὦνδρες ἀπολελύσθαι μοι δοκῶ·
*of-one indeed O-men to-have-been-released to-me I-seem*
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
*no-one for — would-say me kneading to-eat*
ΟΙΚΕΤΗΣ Α′ αἰβοῖ, φέρ' ἄλλην χἀτέραν μοι χἀτέραν,
*ugh bring another and-another to-me and-another*
καὶ τρῖβ' ἔθ' ἑτέρας. ΟΙΚΕΤΗΣ Β′ μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
*and knead still others by — Apollo I indeed not*
οὐ γὰρ ἔθ' οἷός τ' εἶμ' ὑπερέχειν τῆς ἀντλίας.
*not for still able — I-am to-hold-out-against the bilge*
ΟΙΚΕΤΗΣ Α′ αὐτὴν ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν.
*it then I-will-carry having-gathered the bilge*
ΟΙΚΕΤΗΣ Β′ νὴ τὸν Δί' ἐς κόρακάς γε καὶ σαυτόν γε πρός.
*by — Zeus to crows at-least and yourself at-least besides*
ὑμῶν δέ γ' εἴ τις οἶδ' ἐμοὶ κατειπάτω,
*of-you and at-least if anyone knows to-me let-him-tell*
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
*whence — I-might-buy nose not pierced*
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον
*no for task was then more-wretched*
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
*than for-beetle kneading to-provide to-eat*
ὗς μὲν γάρ, ὥσπερ ἂν χέσῃ τις, ἢ κύων
*pig indeed for as — shits anyone or dog*
φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
*plainly gobbles this and from pride*

βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
*gives-himself-airs both and to-eat not deigns*
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης
*if not I-serve having-kneaded through day whole*
ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.
*like for-woman round-cake kneaded*
ἀλλ' εἰ πέπαυται τῆς ἐδωδῆς σκέψομαι
*but if he-has-stopped of-the eating I-will-look*
τηδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
*this-way having-opened of-the door so-that not me he-may-see*
ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων
*gobble not may-you-stop ever eating*
τέως ἕως σαυτὸν λάθοις διαρραγείς.
*until till yourself may-you-escape-notice having-burst*
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
*how and stooping the accursed eats*
ὥσπερ παλαιστής, παραβαλὼν τοὺς γομφίους,
*like wrestler setting-in the molars*
καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
*and this the head both and the two-hands somehow*
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
*so turning-round like those-who the ropes*
τὰ παχέα συμβάλλοντες ἐς τὰς ὁλκάδας.
*the thick twisting for the merchant-ships*
μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν·
*foul the thing and stinking and gluttonous*
χὥτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ
*and-whose ever is of-gods the visitation*
οὐκ οἶδ'. Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
*not I-know of-Aphrodite indeed for not to-me it-seems*

οὐ μὴν Χαρίτων γε. ΟΙΚΕΤΗΣ Α′ τοῦ γάρ ἐστ';
*not truly of-Graces at-least whose for is-it*

ΟΙΚΕΤΗΣ Β′ οὐκ ἔσθ' ὅπως
*not it-is how*

τοῦτ' ἔστι τὸ τέρας οὐ Διὸς καταιβάτου.
*this is the portent not of-Zeus descending*

ΟΙΚΕΤΗΣ Α′ οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
*then — now of-the spectators someone would-say*

νεανίας δοκησίσοφος, "τὸ δὲ πρᾶγμα τί;
*youth thinking-himself-wise the and affair what*

ὁ κάνθαρος δὲ πρὸς τί;" κᾆτ' αὐτῷ γ' ἀνὴρ
*the beetle and for what and-then to-him at-least man*

Ἰωνικός τις φησι παρακαθήμενος·
*Ionian someone says sitting-by*

"δοκέω μέν, ἐς Κλέωνα τοῦτ' αἰνίσσεται,
*I-think indeed at Cleon this he-hints*

ὡς κεῖνος ἀναιδέως τὴν σπατίλην ἐσθίει."
*since he shamelessly the dung eats*

ΟΙΚΕΤΗΣ Β′ ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
*but going-in to-the beetle I-will-give to-drink*

ΟΙΚΕΤΗΣ Α′ ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις
*I and the story at-least to-the little-boys*

καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσιν
*and to-the little-men and to-the men*

καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω
*and to-the highest men will-tell*

καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
*and to-the over-manly still these very*

ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
*the master my is-mad new way*

οὐχ ὅνπερ ὑμεῖς, ἀλλ᾽ ἕτερον καινὸν πάνυ.
*not which you but another new very*

δι᾽ ἡμέρας γὰρ ἐς τὸν οὐρανὸν βλέπων
*through day for to the sky looking*

ὠδὶ κεχηνὼς λοιδορεῖται τῷ Διὶ
*so gaping he-rails — at-Zeus*

καί φησιν, "ὦ Ζεῦ τί ποτε βουλεύει ποιεῖν;
*and says O Zeus what ever do-you-plan to-do*

κατάθου τὸ κόρημα· μὴ ᾽κκόρει τὴν Ἑλλάδα."
*lay-down the broom not sweep-out — Greece*

ἔα ἔα.
*ha ha*

σιγήσαθ᾽, ὡς φωνῆς ἀκούειν μοι δοκῶ.
*be-quiet since voice to-hear to-me I-seem*

ΤΡΥΓΑΙΟΣ ὦ Ζεῦ τί δρασείεις ποθ᾽ ἡμῶν τὸν λεών;
*O Zeus what do-you-mean-to-do ever our the people*

λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.
*you-will-not-notice yourself the cities having-de-seeded*

ΟΙΚΕΤΗΣ Α′ τοῦτ᾽ ἔστι τουτὶ τὸ κακὸν αὖθ᾽ οὑγὼ ᾽λεγον.
*this is this-here the evil itself which-I said*

τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
*the for example of-the madnesses you-hear*

ἃ δ᾽ εἶπε πρῶτον ἡνίκ᾽ ἤρχεθ᾽ ἡ χολή,
*what and he-said first when began the bile*

πεύσεσθ᾽. ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδί·
*you-will-learn he-said for to himself here*

"πῶς ἄν ποτ᾽ ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;"
*how — ever might-I-come — straight-to — Zeus*

ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
*then light little-ladders making*

πρὸς ταῦτ᾽ ἀνηρριχᾶτ᾽ ἂν ἐς τὸν οὐρανόν,
*up these he-would-clamber — to the sky*
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.
*until he-was-smashed of-the head falling-down*
ἐχθὲς δὲ μετὰ ταῦτ᾽ ἐκφθαρεὶς οὐκ οἶδ᾽ ὅποι
*yesterday and after this having-gone-off not I-know where*
εἰσήγαγ᾽ Αἰτναῖον μέγιστον κάνθαρον,
*he-brought-in Etnaean biggest beetle*
κἄπειτα τοῦτον ἱπποκομεῖν μ᾽ ἠνάγκασεν,
*and-then this-one to-groom me he-forced*
καὐτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον,
*and-himself stroking him like colt*
"ὦ Πηγάσειον," φησί, "γενναῖον πτερόν,
*O Pegasean he-says noble wing*
ὅπως πετήσει μ᾽ εὐθὺ τοῦ Διὸς λαβών."
*see-that you-fly me straight-to — Zeus having-taken*
ἀλλ᾽ ὅ τι ποιεῖ τηδὶ διακύψας ὄψομαι.
*but what thing he-does this-way peeping I-will-see*
οἴμοι τάλας· ἴτε δεῦρο δεῦρ᾽ ὦ γείτονες·
*ah-me wretched come here here O neighbors*
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
*the master for my aloft is-lifted*
ἱππηδὸν ἐς τὸν ἀέρ᾽ ἐπὶ τοῦ κανθάρου.
*horse-wise into the air on the beetle*
ΤΡΥΓΑΙΟΣ ἥσυχος ἥσυχος, ἠρέμα, κάνθων·
*gently gently easy donkey*
μή μοι σοβαρῶς χώρει λίαν
*not to-me haughtily go too-much*
εὐθὺς ἀπ᾽ ἀρχῆς ῥώμῃ πίσυνος,
*straight from beginning in-strength trusting*

πρὶν ἂν ἱδίῃς καὶ διαλύσῃς
*before — you-sweat and loosen*
ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
*of-limbs sinews of-wings by-rush*
καὶ μὴ πνεῖ μοι κακόν, ἀντιβολῶ σ'·
*and not breathe on-me bad I-beg you*
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους
*if and you-will-do this in house*
αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.
*there stay the ours*

ΟΙΚΕΤΗΣ Α′ ὦ δέσποτ' ἄναξ ὡς παραπαίεις.
*O master lord how you-are-mad*

ΤΡΥΓΑΙΟΣ σίγα σίγα.
*silence silence*

ΟΙΚΕΤΗΣ Α′ ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς;
*where then idly do-you-beat-the-air*

ΤΡΥΓΑΙΟΣ ὑπὲρ Ἑλλήνων πάντων πέτομαι
*for Greeks all I-fly*
τόλμημα νέον παλαμησάμενος.
*daring new having-contrived*

ΟΙΚΕΤΗΣ Α′ τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;
*why do-you-fly why in-vain not you-are-sane*

ΤΡΥΓΑΙΟΣ εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
*to-speak-well one-must and not cheap*
μηδὲν γρύζειν ἀλλ' ὀλολύζειν·
*nothing to-grunt but to-raise-the-holy-cry*
τοῖς τ' ἀνθρώποισι φράσον σιγᾶν,
*the and to-men tell to-be-silent*
τούς τε κοπρῶνας καὶ τὰς λαύρας
*the and dung-heaps and the alleys*

καιναῖς πλίνθοισιν ἀνοικοδομεῖν
*with-new bricks to-wall-up*
καὶ τοὺς πρωκτοὺς ἐπικλῄειν.
*and the asses to-shut-up*
ΟΙΚΕΤΗΣ Α′ οὐκ ἔσθ' ὅπως σιγήσομ', ἢν μή μοι φράσῃς
*not it-is how I-will-be-silent if not to-me you-tell*
ὅποι πέτεσθαι διανοεῖ. ΤΡΥΓΑΙΟΣ τί δ' ἄλλο γ' ἢ
*whither to-fly you-intend what and else at-least than*
ὡς τὸν Δί' ἐς τὸν οὐρανόν; ΟΙΚΕΤΗΣ Α′ τίνα νοῦν ἔχων;
*to — Zeus into the sky what mind having*
ΤΡΥΓΑΙΟΣ ἐρησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
*to-ask him of-Greeks about*
ἁπαξαπάντων ὅ τι ποιεῖν βουλεύεται.
*all-together what thing to-do he-plans*
ΟΙΚΕΤΗΣ Α′ ἐὰν δὲ μή σοι καταγορεύῃ; ΤΡΥΓΑΙΟΣ γράψομαι
*if and not to-you he-declares I-will-indict*
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.
*to-Medes him to-betray — Greece*
ΟΙΚΕΤΗΣ Α′ μὰ τὸν Διόνυσον οὐδέποτε ζῶντός γ' ἐμοῦ.
*by — Dionysus never living at-least me*
ΤΡΥΓΑΙΟΣ οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'. ΟΙΚΕΤΗΣ Α′ ἰοὺ ἰοὺ ἰού·
*not it-is beside this other oh oh oh*
ὦ παιδί' ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
*O children the father leaving goes-off*
ὑμᾶς ἐρήμους ἐς τὸν οὐρανὸν λάθρᾳ.
*you deserted to the sky secretly*
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ' ὦ κακοδαίμονα.
*but entreat the father O ill-starred*

ΠΑΙΔΙΟΝ ὦ πάτερ ὦ πάτερ ἆρ᾽ ἔτυμός γε
*O father O father — true at-least*
δώμασιν ἡμετέροις φάτις ἥκει,
*to-house our report comes*
ὡς σὺ μετ᾽ ὀρνίθων προλιπὼν ἐμὲ
*that you with birds leaving me*
ἐς κόρακας βαδιεῖ μεταμώνιος;
*to crows will-go on-the-wind*
ἔστι τι τῶνδ᾽ ἐτύμως; εἶπ᾽ ὦ πάτερ, εἴ τι φιλεῖς με.
*is any of-these truly tell O father if at-all you-love me*
ΤΡΥΓΑΙΟΣ δοξάσαι ἔστι κόραι, τὸ δ᾽ ἐτήτυμον ἄχθομαι ὑμῖν,
*to-think it-is girls the and truth I-am-vexed with-you*
ἡνίκ᾽ ἂν αἰτίζητ᾽ ἄρτον πάππαν με καλοῦσαι,
*when — you-ask-for bread daddy me calling*
ἔνδον δ᾽ ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
*inside and of-silver not-even drop is quite at-all*
ἦν δ᾽ ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ᾽ ἐν ὥρᾳ
*if and I well having-fared come back you-will-have in season*
κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ᾽ αὐτῇ.
*roll great and punch relish on it*
ΠΑΙΔΙΟΝ καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
*and what means to-you of-the journey will-be*
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.
*ship indeed for not will-carry you this the way*
ΤΡΥΓΑΙΟΣ πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.
*winged will-convey colt not I-will-go-by-ship*
ΠΑΙΔΙΟΝ τίς δ᾽ ἡ ᾽πίνοιά σοὐστὶν ὥστε κάνθαρον
*what and the idea to-you-is so-as beetle*
ζεύξαντ᾽ ἐλαύνειν ἐς θεοὺς ὦ παππία;
*having-yoked to-drive to gods O daddy*

ΤΡΥΓΑΙΟΣ ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
*in the of-Aesop fables he-was-found*
μόνος πετεινῶν ἐς θεοὺς ἀφιγμένος.
*only of-winged-things to gods having-arrived*
ΠΑΙΔΙΟΝ ἄπιστον εἶπας μῦθον ὦ πάτερ πάτερ,
*incredible you-told tale O father father*
ὅπως κάκοσμον ζῷον ἦλθεν ἐς θεούς.
*how stinking creature came to gods*
ΤΡΥΓΑΙΟΣ ἦλθεν κατ᾽ ἔχθραν αἰετοῦ πάλαι ποτέ,
*he-came out-of enmity with-eagle long-ago once*
ᾠὰ᾽ ἐκκυλίνδων κἀντιτιμωρούμενος.
*eggs rolling-out and-taking-revenge*
ΠΑΙΔΙΟΝ οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν,
*then you-ought you of-Pegasus to-yoke wing*
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
*so-that you-might-appear to-the gods more-tragic*
ΤΡΥΓΑΙΟΣ ἀλλ᾽ ὦ μέλ᾽ ἄν μοι σιτίων διπλῶν ἔδει·
*but O friend — for-me of-rations double would-need*
νῦν δ᾽ ἅττ᾽ ἂν αὐτὸς καταφάγω τὰ σιτία,
*now and whatever — myself I-eat-up the rations*
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
*with-these the same this-one I-will-feed*
ΠΑΙΔΙΟΝ τί δ᾽ ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;
*what and if into wet sea depth he-falls*
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;
*how to-slip-out winged being will-he-be-able*
ΤΡΥΓΑΙΟΣ ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
*on-purpose I-had rudder which I-will-use*
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.
*the and vessel will-be Naxos-built beetle*

ΠΑΙΔΙΟΝ λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
*harbor and what you will-receive being-borne*

ΤΡΥΓΑΙΟΣ ἐν Πειραιεῖ δήπου ’στὶ Κανθάρου λιμήν.
*in Piraeus surely is of-Cantharus harbor*

ΠΑΙΔΙΟΝ ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς
*that watch-out lest having-slipped you-fall-off*
ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ
*thence then lame being for-Euripides*
λόγον παράσχῃς καὶ τραγῳδία γένῃ.
*plot you-provide and tragedy become*

ΤΡΥΓΑΙΟΣ ἐμοὶ μελήσει ταῦτά γ’. ἀλλὰ χαίρετε.
*to-me will-be-a-care these at-least but farewell*
ὑμεῖς δέ γ’, ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
*you and at-least for whom the toils I toil*
μὴ βδεῖτε μηδὲ χέζεθ’ ἡμερῶν τριῶν·
*not fart nor shit for-days three*
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
*since if aloft this-one being shall-smell*
κατωκάρα ῥίψας με βουκολήσεται.
*head-down having-thrown me he-will-go-grazing*
ἀλλ’ ἄγε Πήγασε χώρει χαίρων,
*but come Pegasus go rejoicing*
χρυσοχάλινον πάταγον ψαλίων
*golden-bridled rattle of-curb-chains*
διακινήσας φαιδροῖς ὠσίν.
*shaking with-bright ears*
τί ποιεῖς; τί ποιεῖς; ποῖ παρακλίνεις
*what are-you-doing what are-you-doing where do-you-turn-aside*
τοὺς μυκτῆρας; πρὸς τὰς λαύρας.
*the nostrils toward the alleys*

ἴει σαυτὸν θαρρῶν ἀπὸ γῆς,
*let-go yourself boldly from earth*
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων
*and-then running wing stretching-out*
ὀρθὸς χώρει Διὸς εἰς αὐλάς,
*straight go of-Zeus to halls*
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
*from indeed shit the nose keeping-away*
ἀπὸ δ' ἡμερίων σίτων πάντων.
*from and daily food all*
ἄνθρωπε τί δρᾷς, οὗτος ὁ χέζων
*man what are-you-doing you the shitting*
ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
*in Piraeus by the whores*
ἀπολεῖς μ' ἀπολεῖς. οὐ κατορύξεις
*you-will-kill me you-will-kill not will-you-bury-it*
κἀπιφορήσεις τῆς γῆς πολλήν,
*and-heap-on of-the earth much*
κἀπιφυτεύσεις ἕρπυλλον ἄνω
*and-plant-on thyme above*
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν
*and perfume pour-on since if at-all falling*
ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
*from-here I-suffer for-my death*
πέντε τάλαντ' ἡ πόλις ἡ Χίων
*five talents the city the of-Chians*
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
*because-of the your ass will-be-fined*
οἴμ' ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω.
*ah-me how I-fear and-no-longer joking I-speak*

ὦ μηχανοποιὲ πρόσεχε τὸν νοῦν ὡς ἐμέ·
*O crane-man attend the mind to me*
ἤδη στρέφει τι πνεῦμα περὶ τὸν ὀμφαλόν,
*already twists some wind about the navel*
κεἰ μὴ φυλάξει, χορτάσω τὸν κάνθαρον.
*and-if not you-take-care I-will-feed the beetle*
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ,
*but near to-be the gods to-me I-seem*
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
*and indeed I-see-down the house the — of-Zeus*
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;
*who at of-Zeus doors not will-you-open*
ΕΡΜΗΣ πόθεν βροτοῦ με προσέβαλ'; ὦναξ Ἡράκλεις
*whence of-mortal me struck O-lord Heracles*
τουτὶ τί ἐστι τὸ κακόν; ΤΡΥΓΑΙΟΣ ἱπποκάνθαρος.
*this-here what is the evil horse-beetle*
ΕΡΜΗΣ ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ
*O loathsome and daring and-shameless you*
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
*and foul and all-foul and foulest*
πῶς δεῦρ' ἀνῆλθες ὦ μιαρῶν μιαρώτατε;
*how here did-you-come-up O of-foul-ones foulest*
τί σοί ποτ' ἔστ' ὄνομ'; οὐκ ἐρεῖς; ΤΡΥΓΑΙΟΣ μιαρώτατος.
*what to-you ever is name not will-you-say foulest*
ΕΡΜΗΣ ποδαπὸς τὸ γένος δ' εἶ; φράζε μοι.
*of-what-country the race and are-you tell me*
ΤΡΥΓΑΙΟΣ μιαρώτατος.
*foulest*
ΕΡΜΗΣ πατὴρ δέ σοι τίς ἐστ'; ΤΡΥΓΑΙΟΣ ἐμοί; μιαρώτατος.
*father and to-you who is to-me foulest*

ΕΡΜΗΣ οὔτοι μὰ τὴν γῆν ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
*surely-not by the earth it-is how not you-will-die*
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἔστι σοι.
*if not you-tell me the-name what thing ever is to-you*
ΤΡΥΓΑΙΟΣ Τρυγαῖος Ἀθμονεύς, ἀμπελουργὸς δεξιός,
*Trygaeus of-Athmonon vine-dresser skilled*
οὐ συκοφάντης οὐδ' ἐραστὴς πραγμάτων.
*not informer nor lover of-troubles*
ΕΡΜΗΣ ἥκεις δὲ κατὰ τί;
*you-have-come and for what*
ΤΡΥΓΑΙΟΣ τὰ κρέα ταυτί σοι φέρων.
*the meats these-here to-you bringing*
ΕΡΜΗΣ ὦ δειλακρίων πῶς ἦλθες; ΤΡΥΓΑΙΟΣ ὦ γλίσχρων ὁρᾷς
*O poor-fellow how you-came O stingy you-see*
ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος;
*that no-more to-be to-you I-seem foulest*
ἴθι νυν κάλεσόν μοι τὸν Δί'. ΕΡΜΗΣ ἰὴ ἰὴ ἰή,
*come now call for-me — Zeus ie ie ie*
ὅτι οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν·
*because not-even are-you-likely near to-be the gods*
φροῦδοι γὰρ ἐχθές εἰσιν ἐξῳκισμένοι.
*gone for yesterday they-are having-moved-out*
ΤΡΥΓΑΙΟΣ ποῖ γῆς; ΕΡΜΗΣ ἰδοὺ γῆς.
*where on-earth look on-earth*
ΤΡΥΓΑΙΟΣ ἀλλὰ ποῖ; ΕΡΜΗΣ πόρρω πάνυ;
*but where far very*
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
*under itself simply of-the-sky the vault*
ΤΡΥΓΑΙΟΣ πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
*how then you then here were-left alone*

ΕΡΜΗΣ τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
*the remaining I-guard little-utensils the of-the gods*
χυτρίδια καὶ σανίδια κἀμφορείδια.
*little-pots and little-boards and-little-jars*
ΤΡΥΓΑΙΟΣ ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
*moved-out and the gods of-what for-the-sake*
ΕΡΜΗΣ Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν
*with-Greeks angered then here indeed*
ἵν' ἦσαν αὐτοὶ τὸν Πόλεμον κατῴκισαν,
*where were themselves — War they-settled*
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ τι βούλεται·
*you having-handed-over to-do simply what thing he-wishes*
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
*themselves and moved-up as highest-possible*
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι
*so-that not they-might-see fighting you any-more*
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
*nor entreating at-all they-might-perceive*
ΤΡΥΓΑΙΟΣ τοῦ δ' οὕνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπέ μοι.
*of-what and on-account-of us this they-did tell me*
ΕΡΜΗΣ ὅτιὴ πολεμεῖν ᾑρεῖσθ' ἐκείνων πολλάκις
*because to-war you-chose them often*
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
*truce making and-if indeed the Laconians*
ὑπερβάλοιντο μικρόν, ἔλεγον ἂν ταδί·
*should-gain-the-upper-hand a-little they-would-say — these-here*
"ναὶ τὼ σιὼ νῦν ὠττικίων δωσεῖ δίκαν."
*by the two-gods now the-little-Attic will-pay penalty*
εἰ δ' αὖ τι πράξαιτ' ἀγαθὸν ἀττικωνικοί
*if and in-turn at-all should-do good the-Atticolaconians*

κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
*and-should-come the Laconians of-peace about*
ἐλέγετ' ἂν ὑμεῖς εὐθύς· "ἐξαπατώμεθα
*would-say — you at-once we-are-deceived*
νὴ τὴν Ἀθηνᾶν, νὴ Δί', οὐχὶ πειστέον·
*by — Athena by Zeus not to-be-trusted*
ἥξουσι καὖθις, ἢν ἔχωμεν τὴν Πύλον.'"
*they-will-come and-again if we-hold — Pylos*
ΤΡΥΓΑΙΟΣ ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.
*the at-least stamp ours of-the words*
ΕΡΜΗΣ ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι
*of-which on-account-of not I-know if ever Peace again*
τὸ λοιπὸν ὄψεσθ'. ΤΡΥΓΑΙΟΣ ἀλλὰ ποῖ γὰρ οἴχεται;
*the in-future you-will-see but where for is-she-gone*
ΕΡΜΗΣ ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.
*— War her threw into cave deep*
ΤΡΥΓΑΙΟΣ ἐς ποῖον; ΕΡΜΗΣ ἐς τουτὶ τὸ κάτω, κἄπειθ' ὁρᾷς
*into which into this-here the below and-then you-see*
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
*how-many from-above he-heaped-on of-the stones*
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν. ΤΡΥΓΑΙΟΣ εἰπέ μοι,
*so-that not you-may-take ever her tell me*
ἡμᾶς δὲ δὴ τί δρᾶν παρασκευάζεται;
*us and indeed what to-do does-he-prepare*
ΕΡΜΗΣ οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑσπέρας
*not I-know except one-thing that mortar at-evening*
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
*enormous the size he-brought-in*
ΤΡΥΓΑΙΟΣ τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;
*what then with-this the mortar will-be-do*

ΕΡΜΗΣ τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
*to-pound in it the cities he-plans*
ἀλλ᾽ εἶμι· καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
*but I-go and for to-come-out opinion my*
μέλλει· θορυβεῖ γοῦν ἔνδον. ΤΡΥΓΑΙΟΣ οἴμοι δείλαιος.
*he-is-about he-makes-a-din at-least inside ah-me wretched*
φέρ᾽ αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾐσθόμην
*come him let-me-run-from and for as I-perceived*
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας. 235
*and-I of-mortar sound warlike*
ΠΟΛΕΜΟΣ ἰὼ βροτοὶ βροτοὶ βροτοὶ πολυτλήμονες,
*oh mortals mortals mortals much-enduring*
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.
*how at-once very the jaws you-will-ache*
ΤΡΥΓΑΙΟΣ ὦναξ Ἄπολλον τῆς θυείας τοῦ πλάτους,
*O-lord Apollo of-the mortar of-the breadth*
ὅσον κακόν, καὶ τοῦ Πολέμου τοῦ βλέμματος.
*what-great evil and — of-War of-the look*
ἆρ᾽ οὗτός ἐστ᾽ ἐκεῖνος ὃν καὶ φεύγομεν, 240
*— this is that-one whom also we-flee*
ὁ δεινός, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;
*the terrible the ox-hide-shielded the on the legs*
ΠΟΛΕΜΟΣ ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι καὶ πεντάκις
*oh Prasiae thrice wretched and five-times*
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.
*and many-ten-times how you-will-perish today*
ΤΡΥΓΑΙΟΣ τουτὶ μὲν ἄνδρες οὐδὲν ἡμῖν πρᾶγμά πω·
*this-here indeed men nothing to-us concern yet*
τὸ γὰρ κακὸν τοῦτ᾽ ἐστὶ τῆς Λακωνικῆς. 245
*the for evil this is of-the Laconian*

ΠΟΛΕΜΟΣ ὦ Μέγαρα Μέγαρ' ὡς ἐπιτετρίψεσθ' αὐτίκα
*O Megara Megara how you-will-be-crushed at-once*
ἁπαξάπαντα καταμεμυττωτευμένα.
*all-together pounded-into-salad*
ΤΡΙΓΑΙΟΣ βαβαὶ βαβαιὰξ ὡς μεγάλα καὶ δριμέα
*wow bless-me how great and sharp*
τοῖσι Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα.
*to-the Megarians he-threw-in the tears*
ΠΟΛΕΜΟΣ ἰὼ Σικελία καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
*oh Sicily and you and how you-are-destroyed*
ΤΡΙΓΑΙΟΣ οἵα πόλις τάλαινα διακναισθήσεται.
*what city wretched will-be-scraped-to-pieces*
ΠΟΛΕΜΟΣ φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
*come let-me-pour-in also the honey this-here the-Attic*
ΤΡΙΓΑΙΟΣ οὗτος παραινῶ σοι μέλιτι χρῆσθἀτέρῳ.
*you I-advise to-you honey to-use-the-other*
τετρώβολον τοῦτ' ἐστί· φείδου τἀττικοῦ.
*four-obol this is spare the-Attic*
ΠΟΛΕΜΟΣ παῖ παῖ Κυδοιμέ. ΚΤΔΟΙΜΟΣ τί με καλεῖς;
*boy boy Din what me do-you-call*
ΠΟΛΕΜΟΣ κλαύσει μακρά.
*you-will-weep long*
ἕστηκας ἀργός; οὑτοσί σοι κόνδυλος.
*you-stand idle this-here for-you punch*
ΚΤΔΟΙΜΟΣ ὡς δριμύς. οἴμοι μοι τάλας ὦ δέσποτα.
*how sharp ah-me me wretched O master*
μῶν τῶν σκορόδων ἐνέβαλες ἐς τὸν κόνδυλον;
*surely-not of-the garlic did-you-put into the punch*

ΠΟΛΕΜΟΣ οἴσεις ἀλετρίβανον τρέχων; ΚΤΔΟΙΜΟΣ ἀλλ᾽ ὦ μέλε
*you-will-bring pestle running but O friend*
οὐκ ἔστιν ἡμῖν· ἐχθὲς εἰσῳκίσμεθα.
*not is-there for-us yesterday we-moved-in*
ΠΟΛΕΜΟΣ οὔκουν παρ᾽ Ἀθηναίων μεταθρέξει ταχὺ πάνυ;
*not-then from Athenians will-you-run-fetch quick very*
ΚΤΔΟΙΜΟΣ ἔγωγε νὴ Δί᾽· εἰ δὲ μή γε, κλαύσομαι.
*I-at-least by Zeus if and not at-least I-shall-weep*
ΤΡΥΓΑΙΟΣ ἄγε δὴ τί δρῶμεν ὦ πόνηρ᾽ ἀνθρώπια;
*come now what shall-we-do O wretched mannikins*
ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας·
*you-see the danger for-us how great*
εἴπερ γὰρ ἥξει τὸν ἀλετρίβανον φέρων,
*if-indeed for he-comes the pestle bringing*
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
*with-this he-will-stir-up the cities sitting*
ἀλλ᾽ ὦ Διόνυσ᾽ ἀπόλοιτο καὶ μὴ ᾽λθοι φέρων.
*but O Dionysus may-he-perish and not may-he-come bringing*
ΠΟΛΕΜΟΣ οὗτος. ΚΤΔΟΙΜΟΣ τί ἔστιν; ΠΟΛΕΜΟΣ οὐ φέρεις;
*you what is-it not you-bring*
ΚΤΔΟΙΜΟΣ τὸ δεῖνα γὰρ
*the what-d'you-call-it for*
ἀπόλωλ᾽ Ἀθηναίοισιν ἀλετρίβανος,
*is-lost for-Athenians pestle*
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
*the hide-seller who stirred-up — Greece*
ΤΡΥΓΑΙΟΣ εὖ γ᾽ ὦ πότνια δέσποιν᾽ Ἀθηναία ποιῶν
*well at-least O lady mistress Athena doing*
ἀπόλωλ᾽ ἐκεῖνος κἀν δέοντι τῇ πόλει,
*is-lost he and-in need for-the city*

ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.
*or before at-least the salad for-us to-pour-in*

ΠΟΛΕΜΟΣ οὔκουν ἕτερον δῆτ' ἐκ Λακεδαίμονος μέτει
*not-then another then from Lacedaemon will-you-fetch*

ἀνύσας τι; ΚΤΔΟΙΜΟΣ ταῦτ' ὦ δέσποθ'. ΠΟΛΕΜΟΣ ἧκέ νυν ταχύ.
*quickly something this O master come now quick*

ΤΡΙΤΑΙΟΣ ὦνδρες τί πεισόμεσθα; νῦν ἀγὼν μέγας.
*O-men what shall-we-suffer now contest great*

ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
*but if anyone of-you in Samothrace happens*

μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλὸν
*initiated now it-is to-pray fine*

ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
*to-be-turned of-the fetcher the two-feet*

ΚΤΔΟΙΜΟΣ οἴμοι τάλας, οἴμοι γε κἄτ' οἴμοι μάλα.
*ah-me wretched ah-me at-least and-then ah-me very*

ΠΟΛΕΜΟΣ τί ἔστι; μῶν οὐκ αὖ φέρεις;
*what is-it surely-not not in-turn you-bring*

ΚΤΔΟΙΜΟΣ ἀπόλωλε γὰρ
*is-lost for*

καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.
*also for-the Lacedaemonians pestle*

ΠΟΛΕΜΟΣ πῶς ὦ πανοῦργ'; ΚΤΔΟΙΜΟΣ ἐς τἀπὶ Θρᾴκης χωρία
*how O villain in the-in Thrace regions*

χρήσαντες ἑτέροις αὐτὸν εἶτ' ἀπώλεσαν.
*lending to-others him then they-lost*

ΤΡΙΤΑΙΟΣ εὖ γ' εὖ γε ποιήσαντες ὦ Διοσκόρω.
*well at-least well at-least doing O Dioscuri*

ἴσως ἂν εὖ γένοιτο· θαρρεῖτ' ὦ βροτοί.
*perhaps — well may-turn-out take-heart O mortals*

ΠΟΛΕΜΟΣ ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
*take-away the utensils having-taken these-here back*
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
*I and pestle going-in will-make*
ΤΡΥΓΑΙΟΣ νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
*now this that has-come the of-Datis song*
ὃ δεφόμενός ποτ' ἦδε τῆς μεσημβρίας,
*which wanking once he-sang at-the noon*
"ὡς ἥδομαι καὶ χαίρομαι κεὐφραίνομαι."
*how I-am-pleased and I-rejoice and-I-am-cheered*
νῦν ἐστιν ἡμῖν ὦνδρες Ἕλληνες καλὸν
*now it-is for-us O-men Greeks fine*
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν
*being-rid of-troubles both and battles*
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
*to-draw-out the to-all Peace dear*
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
*before another in-turn pestle to-hinder anyone*
ἀλλ' ὦ γεωργοὶ κἄμποροι καὶ τέκτονες
*but O farmers and-merchants and carpenters*
καὶ δημιουργοὶ καὶ μέτοικοι καὶ ξένοι
*and craftsmen and metics and strangers*
καὶ νησιῶται, δεῦρ' ἴτ' ὦ πάντες λεῴ,
*and islanders here come O all peoples*
ὡς τάχιστ' ἄμας λαβόντες καὶ μοχλοὺς καὶ σχοινία·
*as quickly-as-possible shovels taking and crowbars and ropes*
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.
*now for for-us to-seize is-possible of-good fortune*

*The farmers and others of the chorus rush in rejoicing. Trygaeus warns them that their noise will rouse War again, but they cannot stop dancing for joy and are told to keep their cheering until Peace is out.*

ΧΟΡΟΣ δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
*here everyone come eagerly straight-for the salvation*
ὦ Πανέλληνες βοηθήσωμεν, εἴπερ πώποτε,
*O all-Greeks let-us-help if-indeed ever*
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν·
*from-ranks released and from-evils crimson*
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
*day for has-shone-forth this Lamachus-hating*
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτόνει·
*to this to-us if anything one-must do tell and-be-master-builder*
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
*not for it-is how to-give-up — I-think to-myself today*
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν ἐς τὸ φῶς ἀνελκύσαι
*before with-crowbars and machines into the light to-haul-up*
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
*the of-gods all greatest and most-vine-loving*
ΤΡΥΓΑΙΟΣ οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
*not will-you-be-silent so-that not overjoyed at-the affair*
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
*— War you-will-rekindle from-inside shouting*
ΧΟΡΟΣ ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
*but having-heard such we-rejoice proclamation*
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
*not for it-was having to-come rations for-days three*

ΤΡΥΓΑΙΟΣ εὐλαβεῖσθέ νυν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
*beware now that the from-below Cerberus*
μὴ παφλάζων καὶ κεκραγὼς ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
*lest spluttering and shouting as when here he-was*
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
*in-the-way to-us he-may-be the goddess not to-draw-out*
ΧΟΡΟΣ οὔτι καὶ νῦν ἔστιν αὐτὴν ὅστις ἐξαιρήσεται,
*not-at-all even now is-there her who will-take-away*
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοῦ ἰοῦ.
*if once into hands she-comes the my hurrah hurrah*
ΤΡΥΓΑΙΟΣ ἐξολεῖτέ μ' ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
*you-will-destroy me O-men if not of-the shouting you-will-let-go*
ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.
*running-out for all these-here he-will-confound with-the feet*
ΧΟΡΟΣ ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω,
*so let-him-stir and let-trample all and let-confound*
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
*not for — rejoicing we today we-would-stop —*
ΤΡΥΓΑΙΟΣ τί τὸ κακόν; τί πάσχετ' ὦνδρες;
*what the evil what do-you-suffer O-men*
μηδαμῶς πρὸς τῶν θεῶν
*by-no-means by the gods*
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.
*matter finest ruin because-of the dance-figures*
ΧΟΡΟΣ ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς
*but I-at-least not to-figure wish but from pleasure*
οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλει χορεύετον.
*not me moving themselves the legs dance*
ΤΡΥΓΑΙΟΣ μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε παῦ' ὀρχούμενος.
*not at-all even now at-least still but stop stop dancing*

ΧΟΡΟΣ ἦν ἰδοὺ καὶ δὴ πέπαυμαι.
*there look and indeed I-have-stopped*

ΤΡΥΓΑΙΟΣ φῄς γε, παύει δ' οὐδέπω.
*you-say at-least you-stop and not-yet*

ΧΟΡΟΣ ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
*one indeed then this-here me allow to-drag and no-more*

ΤΡΥΓΑΙΟΣ τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
*this now and no-more other nothing dance still*

ΧΟΡΟΣ οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
*not — we-would-dance if-indeed we-could-help at-all you*

ΤΡΥΓΑΙΟΣ ἀλλ' ὁρᾶτ' οὔπω πέπαυσθε. ΧΟΡΟΣ τουτογὶ νὴ τὸν Δία
*but look not-yet you-have-stopped this-here by — Zeus*

τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
*the leg having-flung now we-cease the right*

ΤΡΥΓΑΙΟΣ ἐπιδίδωμι τοῦτό γ' ὑμῖν ὥστε μὴ λυπεῖν ἔτι.
*I-grant this at-least to-you so-as not to-annoy still*

ΧΟΡΟΣ ἀλλὰ καὶ τἀριστερόν τοί μ' ἐστ' ἀναγκαίως ἔχον.
*but also the-left surely to-me is necessarily holding*

ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ
*I-am-pleased for and rejoice and have-farted and laugh*

μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα.
*more than the old-age shedding having-escaped the shield*

ΤΡΥΓΑΙΟΣ μή τι καὶ νυνί γε χαίρετ'·
*not at-all even now at-least rejoice*

οὐ γὰρ ἴστε πω σαφῶς·
*not for you-know yet clearly*

ἀλλ' ὅταν λάβωμεν αὐτήν, τηνικαῦτα χαίρετε
*but when we-take her then rejoice*

καὶ βοᾶτε καὶ γελᾶτ'· ἤδη
*and shout and laugh already*

γὰρ ἐξέσται τόθ' ὑμῖν
*for it-will-be-possible then for-you*
πλεῖν μένειν βινεῖν καθεύδειν,
*to-sail to-stay to-fuck to-sleep*
ἐς πανηγύρεις θεωρεῖν,
*to festivals to-go-as-envoys*
ἑστιᾶσθαι κοτταβίζειν,
*to-feast to-play-cottabus*
†συβαρίζειν†
*to-live-like-Sybarites*
ἰοῦ ἰοῦ κεκραγέναι.
*hurrah hurrah to-shout*

## III · PEACE IS HAULED OUT

*Hermes threatens death to anyone digging Peace up, but Trygaeus wins him with flattery, a gift of a gold cup, and the charge that the Moon and Sun, plotting against the gods, are betraying Greece to the barbarians. They pour libations and haul on the ropes; the Boeotians, Argives, Megarians, and Lamachus shirk, and the farmers alone draw Peace out, with Harvest and Holiday. Hermes explains that Peace was driven away by Pheidias' fall, Pericles' decree, the bribed and greedy Spartans, and the hide-seller Cleon.*

ΧΟΡΟΣ εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην με τὴν ἡμέραν.
*if for it-were-granted to-see this me the day*
πολλὰ γὰρ ἀνεσχόμην πράγματά τε καὶ στιβάδας, ἃς
*many for I-endured troubles both and pallets which*
ἔλαχε Φορμίων·
*got Phormio*
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον,
*and-no-longer — me you-would-find juror bitter nor peevish*

οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ πρὸ τοῦ,
*nor the ways at-least surely hard as also before this*
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις καὶ πολὺ νεώτερον,
*but soft — me you-would-see and much younger*
ἀπαλλαγέντα πραγμάτων.
*released from-troubles*
καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα
*and for enough time we-are-ruined*
καὶ κατατετρίμμεθα πλανώμενοι
*and worn-out wandering*
ἐς Λύκειον κἀκ Λυκείου ξὺν δορὶ ξὺν ἀσπίδι.
*to Lyceum and-from Lyceum with spear with shield*
ἀλλ' ὅ τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε
*but what thing most we-shall-please doing come*
φράζε· σὲ γὰρ αὐτοκράτορ' εἵλετ' ἀγαθή τις ἡμῖν τύχη.
*tell you for commander-in-chief chose good some our fortune*
ΤΡΥΓΑΙΟΣ φέρε δὴ κατίδω ποῖ τοὺς λίθους ἀφέλξομεν.
*come now let-me-see where the stones we-shall-drag*
ΕΡΜΗΣ ὦ μιαρὲ καὶ τολμηρὲ τί ποιεῖν διανοεῖ;
*O foul and daring what to-do do-you-intend*
ΤΡΥΓΑΙΟΣ οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν.
*nothing wicked but what also Cillicon*
ΕΡΜΗΣ ἀπόλωλας ὦ κακόδαιμον. ΤΡΥΓΑΙΟΣ οὐκοῦν ἢν λάχω.
*you-are-lost O ill-starred then if I-get-the-lot*
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι.
*Hermes for being by-lot you-will-do I-know that*
ΕΡΜΗΣ ἀπόλωλας, ἐξόλωλας. ΤΡΥΓΑΙΟΣ ἐς τίν' ἡμέραν;
*you-are-lost you-are-destroyed on what day*

ΕΡΜΗΣ εἰς αὐτίκα μάλ'. ΤΡΥΓΑΙΟΣ ἀλλ' οὐδὲν ἠμπόληκά πω,
*for at-once very but nothing I-have-bought yet*
οὔτ' ἄλφιτ' οὔτε τυρόν, ὡς ἀπολούμενος.
*neither barley-groats nor cheese as about-to-perish*
ΕΡΜΗΣ καὶ μὴν ἐπιτέτριψαί γε. ΤΡΥΓΑΙΟΣ κᾆτα τῷ τρόπῳ
*and truly you-are-crushed at-least and-then in-what way*
οὐκ ἠσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
*not I-perceived good so-great having-got*
ΕΡΜΗΣ ἆρ' οἶσθα θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς ὃς ἂν
*— do-you-know death that proclaimed — Zeus whoever —*
ταύτην ἀνορύττων εὑρεθῇ;
*this digging-up is-found*
ΤΡΥΓΑΙΟΣ νῦν ἆρά με ἅπασ' ἀνάγκη 'στ' ἀποθανεῖν;
*now then me wholly necessity is to-die*
ΕΡΜΗΣ εὖ ἴσθ' ὅτι. ΤΡΥΓΑΙΟΣ ἐς χοιρίδιόν μοί νυν
*well know that for piglet to-me now*
δάνεισον τρεῖς δραχμάς·
*lend three drachmas*
δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
*must for to-be-initiated me before to-have-died*
ΕΡΜΗΣ ὦ Ζεῦ κεραυνοβρόντα. ΤΡΥΓΑΙΟΣ μὴ πρὸς τῶν θεῶν
*O Zeus lightning-thunderer not by the gods*
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε δέσποτα.
*us denounce I-beg you master*
ΕΡΜΗΣ οὐκ ἂν σιωπήσαιμι. ΤΡΥΓΑΙΟΣ ναὶ πρὸς τῶν κρεῶν,
*not — I-would-keep-silent yes by the meats*
ἁγὼ προθύμως σοι φέρων ἀφικόμην.
*which-I eagerly to-you bringing came*

ΕΡΜΗΣ ἀλλ᾽ ὦ μέλ᾽ ὑπὸ τοῦ Διὸς ἀμαλδυνθήσομαι,
*but O friend by — Zeus I-shall-be-crushed*
εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.
*if not I-shout-out these and bawl*
ΤΡΥΓΑΙΟΣ μή νυν λακήσῃς, λίσσομαί σ᾽ ὡρμῆδιον.
*not now bawl I-beseech you O-little-Hermes*
εἰπέ μοι, τί πάσχετ᾽ ὦνδρες; ἕστατ᾽ ἐκπεπληγμένοι.
*tell me what do-you-suffer O-men you-stand dumbstruck*
ὦ πόνηροι μὴ σιωπᾶτ᾽· εἰ δὲ μή, λακήσεται.
*O wretches not be-silent if and not he-will-bawl*
ΧΟΡΟΣ μηδαμῶς ὦ δέσποθ᾽ Ἑρμῆ, μηδαμῶς, μηδαμῶς,
*by-no-means O master Hermes by-no-means by-no-means*
εἴ τι κεχαρισμένον χοιρίδιον οἶσθα
*if any pleasing piglet you-know*
παρ᾽ ἐμοῦ γε κατεδηδοκώς,
*from me at-least having-eaten*
τοῦτο μὴ φαῦλον νόμιζ᾽ ἐν τῷδε τῷ νῦν πράγματι.
*this not paltry think in this the now affair*
ΤΡΥΓΑΙΟΣ οὐκ ἀκούεις οἷα θωπεύουσί σ᾽ ὦναξ δέσποτα;
*not do-you-hear how they-flatter you O-lord master*
ΧΟΡΟΣ †μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν,†
*not become implacable entreating us*
ὥστε τήνδε μὴ λαβεῖν·
*so-as her not to-take*
ἀλλὰ χάρισ᾽ ὦ φιλανθρωπότατε
*but grant O most-man-loving*
καὶ μεγαλοδωρότατε δαιμόνων,
*and most-bountiful of-gods*
εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς.
*if at-all of-Peisander you-loathe the crests and the brows*

καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι
*and you with-sacrifices holy processions and great*
διὰ παντὸς ὦ δέσποτ' ἀγαλοῦμεν ἡμεῖς ἀεί.
*through all O master shall-glorify we always*
ΤΡΥΓΑΙΟΣ ἴθ', ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα,
*come I-beg you pity their the voice*
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
*since you also they-honor more than before this*
κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
*thieves for they-are now at-least more than before this*
καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
*and to-you I-will-tell some matter terrible and great*
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
*which against-the gods all is-plotted*
ΕΡΜΗΣ ἴθι δὴ κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
*come now tell perhaps for — you-might-persuade me*
ΤΡΥΓΑΙΟΣ ἡ γὰρ Σελήνη χὠ πανοῦργος Ἥλιος
*the for Moon and-the villain Sun*
ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον
*against-you plotting long already time*
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
*to-the barbarians betray — Greece*
ΕΡΜΗΣ ἵνα δὴ τί τοῦτο δρᾶτον; ΤΡΥΓΑΙΟΣ ὁτιὴ νὴ Δία
*so-that indeed why this do-they-do because by Zeus*
ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
*we indeed to-you sacrifice to-these and*
οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως
*the barbarians sacrifice because-of this naturally*
βούλοιντ' ἂν ἡμᾶς πάντας ἐξολωλέναι,
*would-wish — us all to-have-perished*

ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
*so-that the rites they-might-get themselves of-the gods*

ΕΡΜΗΣ ταῦτ᾽ ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην
*this then long-since of-the days they-were-stealing*

καὶ τοῦ κύκλου παρέτρωγον ὑφ᾽ ἁμαρτωλίας.
*and of-the circle they-nibbled-away through wrongdoing*

ΤΡΙΤΑΙΟΣ ναὶ μὰ Δία. πρὸς ταῦτ᾽ ὦ φίλ᾽ Ἑρμῆ ξύλλαβε
*yes by Zeus to this O dear Hermes lend-a-hand*

ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον.
*to-us eagerly this-one and help-haul*

καί σοι τὰ μεγάλ᾽ ἡμεῖς Παναθήναι᾽ ἄξομεν
*and for-you the great we Panathenaea will-keep*

πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
*all and the other rites the of-the gods*

μυστήρι᾽ Ἑρμῇ, Διιπόλει᾽, Ἀδώνια·
*mysteries for-Hermes Dipolieia Adonia*

ἄλλαι τέ σοι πόλεις πεπαυμέναι κακῶν
*other and for-you cities having-ceased from-evils*

ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ.
*to-averter-of-evil will-sacrifice Hermes everywhere*

χἄτερ᾽ ἔτι πόλλ᾽ ἕξεις ἀγαθά. πρῶτον δέ σοι
*and-other still many you-will-have goods first and to-you*

δῶρον δίδωμι τήνδ᾽, ἵνα σπένδειν ἔχῃς.
*gift I-give this so-that to-pour-libations you-may-have*

ΕΡΜΗΣ οἴμ᾽ ὡς ἐλεήμων εἴμ᾽ ἀεὶ τῶν χρυσίδων.
*ah-me how compassionate I-am always toward-the gold-cups*

ὑμέτερον ἐντεῦθεν ἔργον ὦνδρες. ἀλλὰ ταῖς ἄμαις
*yours from-here the-work O-men but with-the shovels*

εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
*going-in as quickly-as-possible the stones drag-away*

ΧΟΡΟΣ ταῦτα δράσομεν· σὺ δ' ἡμῖν ὦ θεῶν σοφώτατε
*this we-will-do you and for-us O of-gods wisest*
ἅττα χρὴ ποιεῖν ἐφεστὼς φράζε δημιουργικῶς·
*what-things one-must do standing-over tell craftsman-wise*
τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
*the-rest and you-will-find to-serve being us not bad*
ΤΡΥΓΑΙΟΣ ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
*come now you quickly hold-under the bowl so-that*
ἔργῳ 'φιαλοῦμεν εὐξάμενοι τοῖσιν θεοῖς.
*in-deed we-may-libate having-prayed to-the gods*
ΕΡΜΗΣ σπονδὴ σπονδή·
*libation libation*
εὐφημεῖτε εὐφημεῖτε.
*keep-holy-silence keep-holy-silence*
ΤΡΥΓΑΙΟΣ σπένδοντες εὐχόμεσθα τὴν νῦν ἡμέραν
*pouring we-pray the now day*
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν,
*for-Greeks to-begin all of-many and-good-things*
χὥστις προθύμως ξυλλάβοι τῶν σχοινίων,
*and-whoever eagerly lends-a-hand at-the ropes*
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
*this the man not to-take ever shield*
ΧΟΡΟΣ μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διαγαγεῖν τὸν βίον,
*by Zeus but in peace to-spend the life*
ἔχονθ' ἑταίραν καὶ σκαλεύοντ' ἄνθρακας.
*having mistress and stirring coals*
ΤΡΥΓΑΙΟΣ ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται
*whoever and war rather to-be wishes*

ΧΟΡΟΣ μηδέποτε παύσασθ' αὐτὸν ὦ Διόνυσ' ἄναξ
*never to-cease him O Dionysus lord*
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
*from the elbows barbs pulling-out*
ΤΡΙΓΑΙΟΣ κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ
*and-if anyone desiring to-be-taxiarch you begrudges*
ἐς φῶς ἀνελθεῖν ὦ πότνι', ἐν ταῖσιν μάχαις
*to light to-come O lady in the battles*
ΧΟΡΟΣ πάσχοι γε τοιαῦθ' οἷάπερ Κλεώνυμος.
*may-he-suffer at-least such-things as Cleonymus*
ΤΡΙΓΑΙΟΣ κεἴ τις δορυξὸς ἢ κάπηλος ἀσπίδων,
*and-if any spear-maker or retailer of-shields*
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν
*so-that he-may-trade better desires battles*
ΧΟΡΟΣ ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
*taken by robbers may-he-eat barley only*
ΤΡΙΓΑΙΟΣ κεἴ τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβοι,
*and-if anyone to-be-general wishing not should-help*
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος
*or slave to-desert prepared*
ΧΟΡΟΣ ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος.
*on the wheel at-least may-he-be-dragged being-whipped*
ΤΡΙΓΑΙΟΣ ἡμῖν δ' ἀγαθὰ γένοιτ'. ἰὴ παιὼν ἰή.
*to-us and goods may-come ie paean ie*
ΧΟΡΟΣ ἄφελε τὸ παίειν ἀλλ' ἰὴ μόνον λέγε.
*take-away the striking but ie only say*
ΤΡΙΓΑΙΟΣ ἰὴ ἰὴ τοίνυν, ἰὴ μόνον λέγω.
*ie ie well-then ie only I-say*
Ἑρμῇ Χάρισιν Ὥραισιν Ἀφροδίτῃ Πόθῳ.
*to-Hermes Graces Hours Aphrodite Desire*

Ἄρει δέ; ΧΟΡΟΣ μὴ μή. ΤΡΥΓΑΙΟΣ μηδ' Ἐνυαλίῳ γε; ΧΟΡΟΣ μή.
*to-Ares and no no nor to-Enyalius at-least no*

ΤΡΥΓΑΙΟΣ ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλῳς.
*stretch-under now everyone and haul with-the ropes*

ΕΡΜΗΣ ὦ εἶα.
*O heave*

ΧΟΡΟΣ εἶα μάλα.
*heave hard*

ΕΡΜΗΣ ὦ εἶα.
*O heave*

ΧΟΡΟΣ εἶα ἔτι μάλα.
*heave still hard*

ΕΡΜΗΣ ὦ εἶα, ὦ εἶα.
*O heave O heave*

ΤΡΥΓΑΙΟΣ ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως.
*but not pull the-men equally*

οὐ ξυλλήψεσθ'; οἵ' ὀγκύλλεσθ'·
*not will-you-lend-a-hand how you-puff-yourselves-up*

οἰμώξεσθ' οἱ Βοιωτοί.
*you-will-wail the Boeotians*

ΕΡΜΗΣ εἶά νυν.
*heave now*

ΤΡΥΓΑΙΟΣ εἶα ὦ.
*heave O*

ΧΟΡΟΣ ἀλλ' ἄγετε ξυνανέλκετε καὶ σφώ.
*but come help-haul also you-two*

ΤΡΥΓΑΙΟΣ οὔκουν ἕλκω κἀξαρτῶμαι
*not-then do-I-pull and-hang-on*

κἀπεμπίπτω καὶ σπουδάζω;
*and-throw-myself-in and work-hard*

ΧΟΡΟΣ πῶς οὖν οὐ χωρεῖ τοὔργον;
*how then not goes-on the-work*

ΤΡΙΓΑΙΟΣ ὦ Λάμαχ' ἀδικεῖς ἐμποδὼν καθήμενος.
*O Lamachus you-do-wrong in-the-way sitting*

οὐδὲν δεόμεθ' ὦνθρωπε τῆς σῆς μορμόνος.
*nothing we-need O-man of-the your bogey*

475 ΕΡΜΗΣ οὐδ' οἵδε γ' εἵλκον οὐδὲν ἀργεῖοι πάλαι
*nor these at-least were-pulling at-all the-Argives long-since*

ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
*but — they-mocked the toiling*

καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
*and this from-both-sides drawing-pay barley*

ΤΡΙΓΑΙΟΣ ἀλλ' οἱ Λάκωνες ὦγάθ' ἕλκουσ' ἀνδρικῶς.
*but the Laconians good-sir pull manfully*

ΧΟΡΟΣ ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
*— do-you-know as-many-as at-least of-them hold-on to-the timber*

480 μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
*alone are-eager but the smith not lets*

ΕΡΜΗΣ οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν· ἕλκουσιν δ' ὅμως
*nor the Megarians do at-all they-pull and nevertheless*

γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια,
*most-greedily grinning like puppies*

ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
*by the at-least hunger by Zeus utterly-ruined*

ΤΡΙΓΑΙΟΣ οὐδὲν ποιοῦμεν ὦνδρες· ἀλλ' ὁμοθυμαδὸν
*nothing we-do O-men but with-one-mind*

485 ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
*all us again one-must-take-hold*

ΕΡΜΗΣ ὦ εἶα.
*O heave*

ΤΡΥΓΑΙΟΣ εἶα μάλα.
*heave hard*

ΕΡΜΗΣ ὦ εἶα.
*O heave*

ΤΡΥΓΑΙΟΣ εἶα νὴ Δία.
*heave by Zeus*

ΧΟΡΟΣ μικρόν γε κινοῦμεν.
*little at-least we-move*

ΤΡΥΓΑΙΟΣ οὔκουν δεινὸν ***
*not-then terrible (lacuna)*

τοὺς μὲν τείνειν τοὺς δ' ἀντισπᾶν;
*the indeed to-pull the and to-pull-against*

πληγὰς λήψεσθ' ὦργεῖοι.
*blows you-will-get O-Argives*

ΕΡΜΗΣ εἶά νυν.
*heave now*

ΤΡΥΓΑΙΟΣ εἶα ὦ.
*heave O*

ΧΟΡΟΣ ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.
*how ill-disposed some are among us*

ΤΡΥΓΑΙΟΣ ὑμεῖς μὲν γοῦν οἱ κιττῶντες
*you indeed at-least the craving*

τῆς εἰρήνης σπᾶτ' ἀνδρείως.
*for-the peace pull manfully*

ΧΟΡΟΣ ἀλλ' εἴσ' οἳ κωλύουσιν.
*but there-are who hinder*

ΕΡΜΗΣ ἄνδρες Μεγαρῆς οὐκ ἐς κόρακας ἐρρήσετε;
*men Megarians not to crows will-you-go*

μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη·
*hates for you the goddess remembering*

πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
*first for her with-the garlic you-anointed*

καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω
*and to-the Athenians to-stop I-tell*

ἐντεῦθεν ἐχομένοις ὅθεν νῦν ἕλκετε·
*from-there holding whence now you-pull*

οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
*nothing for else you-do except you-go-to-law*

ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
*but if-indeed you-desire this-one to-draw-out*

πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
*to the sea a-little withdraw*

ΧΟΡΟΣ ἄγ' ὦνδρες αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.
*come O-men ourselves now alone let-us-take-hold the farmers*

ΕΡΜΗΣ χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον ὦνδρες ὑμῖν.
*goes at-least surely the matter much more O-men for-you*

ΧΟΡΟΣ χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.
*to-go the matter he-says but every man be-eager*

ΤΡΙΓΑΙΟΣ οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι κἄλλος οὐδείς.
*the surely farmers the-work draw-out and-other no-one*

ΧΟΡΟΣ ἄγε νυν ἄγε πᾶς.
*come now come everyone*

ΕΡΜΗΣ καὶ μὴν ὁμοῦ 'στιν ἤδη.
*and truly close is already*

ΧΟΡΟΣ μή νυν ἀνῶμεν ἀλλ' ἐπεντείνωμεν
*not now let-us-slacken but let-us-strain-harder*

ἀνδρικώτερον.
*more-manfully*

ΕΡΜΗΣ ἤδη 'στὶ τοῦτ' ἐκεῖνο.
*now is this that*

ΧΟΡΟΣ ὦ εἶα νῦν, ὦ εἶα πᾶς.
*O heave now O heave everyone*
ὦ εἶα εἶα εἶα εἶα εἶα εἶα.
*O heave heave heave heave heave heave*
ὦ εἶα εἶα εἶα εἶα εἶα πᾶς.
*O heave heave heave heave heave everyone*
ΤΡΥΓΑΙΟΣ ὦ πότνια βοτρυόδωρε τί προσείπω σ' ἔπος; 520
*O lady grape-giver what shall-I-address you word*
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον
*whence — might-I-get phrase ten-thousand-jar*
ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
*with-which I-may-greet you not for I-had from-home*
ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ' ὦ Θεωρία.
*O hail Harvest and you and O Holiday*
οἷον δ' ἔχεις τὸ πρόσωπον ὦ Θεωρία,
*what and you-have the face O Holiday*
οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας, 525
*what and you-breathe how sweet on the heart*
γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου.
*sweetest like of-discharge and of-perfume*
ΕΡΜΗΣ μῶν οὖν ὅμοιον καὶ γυλιοῦ στρατιωτικοῦ;
*surely-not then like also of-knapsack military*
ΤΡΥΓΑΙΟΣ ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
*I-spat-on of-hated man most-hated wicker*
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυργμίας,
*the indeed for smells of-onion-sour-belch*
ταύτης δ' ὀπώρας, ὑποδοχῆς, Διονυσίων, 530
*this and of-harvest of-reception of-Dionysia*
αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν,
*of-pipes of-tragedians of-Sophocles of-songs of-thrushes*

ἐπυλλίων Εὐριπίδου — ΕΡΜΗΣ κλαύσᾰρα σὺ
*of-versicles of-Euripides you-will-weep-then you*
ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
*her slandering not for she-is-pleased*
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.
*she with-poet of-little-phrases of-the-courts*
ΤΡΥΓΑΙΟΣ κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
*of-ivy of-wine-strainer of-sheep bleating*
†κόλπου† γυναικῶν διατρεχουσῶν εἰς ἀγρόν,
*bosom of-women running-about to field*
δούλης μεθυούσης, ἀνατετραμμένου χοῶς,
*of-slave-girl drunk of-upturned pitcher*
ἄλλων τε πολλῶν κἀγαθῶν —
*others and of-many and-good-things*
ΕΡΜΗΣ ἴθι νυν ἄθρει οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
*come now look how to one-another chatter the cities*
διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι,
*reconciled and laugh glad*
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
*and this wondrously black-eyed*
ἁπαξάπασαι καὶ κυάθους προσκείμεναι.
*all-together and cups applied*
ΤΡΥΓΑΙΟΣ καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
*and of-these well-then the spectators look-at*
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας. ΕΡΜΗΣ αἰβοῖ τάλας,
*the faces so-that you-may-know the trades ugh wretched*

ΤΡΥΓΑΙΟΣ ἐκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
*that-one-there at-least the crest-maker not do-you-see*
τίλλονθ' ἑαυτόν; ΕΡΜΗΣ ὁ δέ γε τὰς σμινύας ποιῶν
*tearing himself he and at-least the mattocks making*
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινουί.
*farted-at just-now the sword-maker that-one-there*
ΤΡΥΓΑΙΟΣ ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται,
*the and sickle-maker not do-you-see how he-is-pleased*
καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;
*and the spear-maker how he-fingered*
ΕΡΜΗΣ ἴθι νυν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
*come now proclaim the farmers to-depart*
ΤΡΥΓΑΙΟΣ ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι
*hear people the farmers to-depart*
τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν
*the farming implements taking to field*
ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου·
*as quickly-as-possible without spear and sword and-javelin*
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
*since all already are full the-things-here of-peace mellow*
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
*but everyone go to work to field having-sung-the-paean*
ΧΟΡΟΣ ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
*O longed-for by-the just and farmers day*
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους,
*gladly you seeing to-greet I-wish the vines*
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
*the and fig-trees which I planted being younger*
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.
*to-embrace desire to-us is in-very-long time*

ΤΡΥΓΑΙΟΣ νῦν μὲν οὖν ὦνδρες προσευξώμεσθα πρῶτον τῇ θεῷ,
*now indeed then O-men let-us-pray first to-the goddess*
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γοργόνας·
*who our the crests took-away and the Gorgons*
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
*then how we-may-scamper home to the farms*
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
*having-bought something good for field salt-fish*
ΕΡΜΗΣ ὦ Πόσειδον ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται
*O Poseidon how fine the troop of-them appears*
καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία.
*both close and spirited like barley-cake and feast*
ΤΡΥΓΑΙΟΣ νὴ Δί' ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλισμένη,
*by Zeus the for hammer bright was then fully-armed*
αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.
*the and pitchforks glitter to the sun*
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον.
*truly well of-them would-clear — vine-row*
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν
*so-that I-at-least already desire and-myself to-go to field*
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γῄδιον.
*and to-turn-up with-the mattock after time the little-plot*
ἀλλ' ἀναμνησθέντες ὦνδρες
*but having-remembered O-men*
τῆς διαίτης τῆς παλαιᾶς,
*of-the life the old*
ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν,
*which used-to-provide she once to-us*
τῶν τε παλασίων ἐκείνων
*of-the and fig-cakes those*

τῶν τε σύκων τῶν τε μύρτων,
*of-the and figs of-the and myrtles*
τῆς τρυγός τε τῆς γλυκείας
*of-the new-wine and of-the sweet*
τῆς ἰωνιᾶς τε τῆς πρὸς
*of-the violet-bed and of-the by*
τῷ φρέατι τῶν τ᾽ ἐλαῶν
*the well of-the and olives*
ὧν ποθοῦμεν,
*which we-long-for*
ἀντὶ τούτων τήνδε νυνὶ
*in-return-for these this-one now*
τὴν θεὸν προσείπατε.
*the goddess address*

ΧΟΡΟΣ χαῖρε χαῖρ᾽, ὡς ἀσμένοισιν ἦλθες, ὦ φιλτάτη.
*hail hail how to-glad-ones you-came O dearest*
σῷ γὰρ ἐδάμην πόθῳ, δαιμόνια
*by-your for I-was-overcome longing wondrously*
βουλόμενος εἰς ἀγρὸν ἀνερπύσαι
*wishing to field to-creep-back*

***

*(lacuna)*

ἦσθα γὰρ μέγιστον ἡμῖν κέρδος ὦ ποθουμένη
*you-were for greatest to-us gain O longed-for*
πᾶσιν ὁπόσοι γεωργὸν βίον ἐτρίβομεν.
*to-all as-many-as farming life spent*
μόνη γὰρ ἡμᾶς ὠφέλεις.
*alone for us you-helped*

πολλὰ γὰρ ἐπάσχομεν πρίν ποτ' ἐπὶ σοῦ
*many-things for we-had before once in your-time*
γλυκέα κἀδάπανα καὶ φίλα.
*sweet and-costless and dear*
τοῖς ἀγροίκοισιν γὰρ ἦσθα χἰδρα καὶ σωτηρία.
*for-the countrymen for you-were groats and salvation*
ὥστε σὲ τά τ' ἀμπέλια καὶ τὰ νέα συκίδια
*so-that you the and little-vines and the young little-figs*
τἄλλα θ' ὁπόσ' ἔστι φυτὰ
*the-others and as-many-as are plants*
προσγελάσεται λαβόντ' ἄσμενα.
*will-smile-at taking gladly*
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον
*but where ever was-she from us the long this time*
ἥδε; τοῦθ' ἡμᾶς δίδαξον ὦ θεῶν εὐνούστατε.
*she this us teach O of-gods most-kindly*
ΕΡΜΗΣ ὦ σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε
*O wisest farmers my now understand*
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.
*words if you-wish to-hear this-one how she-perished*
πρῶτα μὲν γὰρ †αὐτῆς ἦρξεν† Φειδίας πράξας κακῶς·
*first indeed for of-her began Pheidias faring badly*
εἶτα Περικλέης φοβηθεὶς μὴ μετάσχοι τῆς τύχης,
*then Pericles fearing lest he-should-share of-the fortune*
τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον,
*the natures your dreading and the self-biting way*
πρὶν παθεῖν τι δεινὸν αὐτός, ἐξέφλεξε τὴν πόλιν.
*before to-suffer something terrible himself he-set-ablaze the city*
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
*throwing-in spark small of-Megarian decree*

ἐξεφύσησεν τοσοῦτον πόλεμον ὥστε τῷ καπνῷ
*he-blew-up so-great war so-that with-the smoke*
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ τούς τ' ἐνθάδε.
*all Greeks to-weep those and there those and here*
ὡς δ' ἅπαξ †τὸ πρῶτον ἄκουσ'† ἐψόφησεν ἄμπελος
*when and once the first heard crackled vine*
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ,
*and jar struck in anger kicked-back at-jar*
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
*no-longer was anyone who would-stop she and vanished*

ΤΡΥΓΑΙΟΣ ταῦτα τοίνυν
*these-things well-then*
μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενός,
*by — Apollo I had-learned from-no-one*
οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόη.
*nor how to-her related Pheidias had-I-heard*

ΧΟΡΟΣ οὐδ' ἔγωγε πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
*nor I-at-least except at-least now this then fair-faced she-was*
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.
*being kinswoman of-him many-things at-least us escape*

ΕΡΜΗΣ κᾆτ' ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις ὧν ἤρχετε
*and-then when knew you the cities which you-ruled*
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
*savage against one-another and grinning*
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν τοὺς φόρους φοβούμεναι,
*all-things contrived against you the tributes fearing*
κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
*and-persuaded of-the Laconians the greatest with-money*
οἱ δ' ἅτ' ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι
*they and as being greedy-of-gain and guest-deceiving*

τήνδ' ἀπορρίψαντες αἰσχρῶς τὸν πόλεμον ἀνήρπασαν·
*this-one throwing-away shamefully the war snatched-up*
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά·
*and-then the-their at-least gains for-the farmers were evils*
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι
*the for from-here in-turn triremes taking-revenge*
οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰς κράδας κατήσθιον.
*nothing guilty — men's the fig-shoots ate-up*
ΤΡΥΓΑΙΟΣ ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γέ μου
*in justice indeed then since surely the black-fig at-least my*
ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.
*they-cut-down which I planted and-reared*
ΧΟΡΟΣ νὴ Δί' ὦ μέλ' ἐνδίκως γε δῆτ', ἐπεὶ κἀμοῦ λίθον
*by Zeus O friend justly at-least then since of-me-too stone*
ἐμβαλόντες ἑξμέδιμνον κυψέλην ἀπώλεσαν.
*throwing six-bushel bin they-destroyed*
ΕΡΜΗΣ κᾆτα δ' ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὐργάτης λεώς,
*and-then and when from the fields came-together the-working folk*
τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐμάνθανεν,
*the way being-sold the same not he-understanded*
ἀλλ' ἅτ' ὢν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας
*but as being without grape-stones and loving the dried-figs*
ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δὲ γιγνώσκοντες εὖ
*he-looked to the speakers they and knowing well*
τοὺς πένητας ἀσθενοῦντας κἀποροῦντας ἀλφίτων,
*the poor weak and-lacking barley*
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασιν,
*this-one indeed with-two-pronged they-pushed-off the goddess with-shouts*
πολλάκις φανεῖσαν αὐτὴν τῆσδε τῆς χώρας πόθῳ,
*often appearing her of-this the land with-longing*

τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
*of-the and allies they-shook the fat and rich*
αἰτίας ἂν προστιθέντες, ὡς φρονεῖ τὰ Βρασίδου.
*charges — attaching that thinks the of-Brasidas*
εἶτ' ἂν ὑμεῖς τοῦτον ὥσπερ κυνίδι' ἐσπαράττετε·
*then — you this-one like puppies tore*
ἡ πόλις γὰρ ὠχριῶσα κἀν φόβῳ καθημένη,
*the city for growing-pale and-in fear sitting*
ἅττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.
*whatever slandered anyone to-her these — most-gladly she-ate*
οἱ δὲ τὰς πληγὰς ὁρῶντες ἃς ἐτύπτονθ' οἱ ξένοι
*they and the blows seeing which were-struck the foreigners*
χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ στόμα,
*with-gold of-those these doing stuffed the mouth*
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους, ἡ δ' Ἑλλὰς ἂν
*so-that them indeed to-make rich the and Greece —*
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
*desolated — you escaped-notice these and was the doer*
βυρσοπώλης. ΤΡΙΓΑΙΟΣ παῦε παῦ' ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε,
*hide-seller stop stop O master Hermes not say*
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον οὗπερ ἔστ' εἶναι κάτω·
*but let the man that-one where-indeed he-is to-be below*
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνὴρ ἀλλὰ σός.
*not for ours still is that the-man but yours*
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον,
*whatever — then you-say that-one*
κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη,
*and-if villain he-was when he-lived*
καὶ λάλος καὶ συκοφάντης
*and chatterer and informer*

καὶ κύκηθρον καὶ τάρακτρον,
*and stirrer and confounder*
ταῦθ' ἁπαξάπαντα νυνὶ
*these all-together now*
τοὺς σεαυτοῦ λοιδορεῖς.
*the your-own you-abuse*

## IV · HARVEST AND HOLIDAY

*Peace will not speak to the audience, since they voted down her truce three times, but whispers questions to Hermes about Cleonymus, Hyperbolus, Sophocles, and Cratinus. Hermes gives Harvest to Trygaeus as his wife and Holiday to the council. Learning that his beetle is now yoked to Zeus' chariot and carries his lightning, Trygaeus leads the women down.*

ΤΡΥΓΑΙΟΣ ἀλλ' ὅ τι σιωπᾷς ὦ πότνια κάτειπέ μοι.
*but what thing are-you-silent O lady tell me*
ΕΡΜΗΣ ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
*but not — she-would-speak to at-least the spectators*
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
*anger for at-them for-what she-suffered much she-has*
ΤΡΥΓΑΙΟΣ ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
*she and but to you a-little let-her-speak alone*
ΕΡΜΗΣ εἶφ' ὅ τι νοεῖς αὐτοῖσι πρὸς ἔμ' ὦ φιλτάτη.
*say what thing you-think of-them to me O dearest*
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
*come O of-women most-hating-shield-straps*
εἶεν, ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
*well I-hear these you-charge I-understand*
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
*hear you for-what on-account-of complaint she-has*

ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ
*having-come she-says of-her-own-accord after the-at Pylos*
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν
*of-truce bringing to-the city box full*
ἀποχειροτονηθῆναι τρὶς ἐν τἠκκλησίᾳ.
*to-have-been-voted-down three-times in the-assembly*
ΤΡΥΓΑΙΟΣ ἡμάρτομεν ταῦτ'· ἀλλὰ συγγνώμην ἔχε·
*we-erred in-this but pardon have*
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
*the mind for our was then in the leathers*
ΕΡΜΗΣ ἴθι νυν ἄκουσον οἷον ἄρτι μ' ἤρετο,
*come now hear what just-now me she-asked*
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
*who ill-disposed to-her most was here*
χὥστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.
*and-who friendly and-was-eager to-be not battles*
ΤΡΥΓΑΙΟΣ εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
*most-kindly indeed was by-far Cleonymus*
ΕΡΜΗΣ ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
*what-sort a-one then to-be he-seems the warlike-things*
ὁ Κλεώνυμος; ΤΡΥΓΑΙΟΣ ψυχήν γ' ἄριστος πλήν γ' ὅτι
*— Cleonymus in-soul at-least best except at-least that*
οὐκ ἦν ἄρ' οὗπέρ φησιν εἶναι τοῦ πατρός.
*not he-was then of-whom-indeed he-says to-be of-the father*
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
*if for ever he-went-out soldier at-once*
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.
*a-thrower-away of-the arms he-became*

ΕΡΜΗΣ ἔτι νῦν ἄκουσον οἷον ἄρτι μ᾽ ἤρετο,
*further now hear what just-now me she-asked*
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ ᾽ν τῇ πυκνί.
*who holds now the stone the on the Pnyx*
ΤΡΙΓΑΙΟΣ Ὑπέρβολος νῦν τοῦτ᾽ ἔχει τὸ χωρίον.
*Hyperbolus now this holds the place*
αὕτη τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;
*you what are-you-doing the head where are-you-turning*
ΕΡΜΗΣ ἀποστρέφεται τὸν δῆμον ἀχθεσθεῖσ᾽ ὅτι
*she-turns-away-from the people vexed that*
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
*for-itself wicked champion it-inscribed*
ΤΡΙΓΑΙΟΣ ἀλλ᾽ οὐκέτ᾽ αὐτῷ χρησόμεθ᾽ οὐδέν, ἀλλὰ νῦν
*but no-more him we-shall-use at-all but now*
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν
*being-at-a-loss the people for-guardian and naked being*
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
*this for-a-time the man put-on*
ΕΡΜΗΣ πῶς οὖν ξυνοίσει ταῦτ᾽ ἐρωτᾷ τῇ πόλει.
*how then will-benefit this she-asks to-the city*
ΤΡΙΓΑΙΟΣ εὐβουλότεροι γενησόμεθα. ΕΡΜΗΣ τρόπῳ τίνι;
*better-counseled we-shall-become in-way what*
ΤΡΙΓΑΙΟΣ ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
*because he-happens lamp-maker being before this indeed then*
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα,
*we-groped in darkness the affairs*
νυνὶ δ᾽ ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
*now and all by lamp we-shall-plan*

ΕΡΜΗΣ ὦ ὤ,
*oh oh*
οἷά μ᾽ ἐκέλευσεν ἀναπυθέσθαι σου. ΤΡΥΓΑΙΟΣ τὰ τί;
*what-things me she-bade to-ask you the what*
ΕΡΜΗΣ πάμπολλα καὶ τἀρχαῖ᾽ ἃ κατέλιπεν τότε·
*very-many and the-old which she-left then*
πρῶτον δ᾽ ὅ τι πράττει Σοφοκλέης ἀνήρετο.
*first and what thing does Sophocles she-asked*
ΤΡΥΓΑΙΟΣ εὐδαιμονεῖ, πάσχει δὲ θαυμαστόν. ΕΡΜΗΣ τὸ τί;
*he-prospers suffers and wonderful the what*
ΤΡΥΓΑΙΟΣ ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
*from — Sophocles he-becomes Simonides*
ΕΡΜΗΣ Σιμωνίδης; πῶς; ΤΡΥΓΑΙΟΣ ὅτι γέρων ὢν καὶ σαπρὸς
*Simonides how because old being and rotten*
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.
*of-gain for-the-sake even on wicker-mat he-would-sail*
ΕΡΜΗΣ τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν; ΤΡΥΓΑΙΟΣ ἀπέθανεν
*what then Cratinus the wise is-he-alive he-died*
ὅθ᾽ οἱ Λάκωνες ἐνέβαλον. ΕΡΜΗΣ τί παθών; ΤΡΥΓΑΙΟΣ ὅ τι;
*when the Laconians invaded what having-suffered what thing*
ὠρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
*having-fainted not for he-could-bear*
ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.
*seeing jar being-smashed of-wine full*
χἄτερα πόσ᾽ ἄττ᾽ οἴει γεγενῆσθ᾽ ἐν τῇ πόλει;
*and-other how-many things do-you-think to-have-happened in the city*
ὥστ᾽ οὐδέποτ᾽ ὦ δέσποιν᾽ ἀφησόμεσθά σου.
*so-that never O lady shall-we-let-go of-you*

ΕΡΜΗΣ ἴθι νυν ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
*come now on these — Harvest take*
γυναῖκα σαυτῷ τήνδε· κᾆτ' ἐν τοῖς ἀγροῖς
*wife for-yourself this-one and-then in the fields*
ταύτῃ ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.
*with-her living-together beget for-yourself grapes*
ΤΡΥΓΑΙΟΣ ὦ φιλτάτη δεῦρ' ἐλθὲ καὶ δός μοι κύσαι.
*O dearest here come and give me to-kiss*
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ
*— — to-be-harmed after a-time at-all to-you I-seem*
ὦ δέσποθ' Ἑρμῆ τῆς Ὀπώρας κατελάσας;
*O master Hermes — of-Harvest having-ridden*
ΕΡΜΗΣ οὐκ εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.
*not if at-least posset you-drink-after pennyroyal*
ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
*but as quickly-as-possible this — Holiday*
ἀπάγαγε τῇ βουλῇ λαβών, ἥσπέρ ποτ' ἦν.
*lead-off to-the council having-taken whose-indeed once she-was*
ΤΡΥΓΑΙΟΣ ὦ μακαρία βουλὴ σὺ τῆς Θεωρίας,
*O blessed council you — of-Holiday*
ὅσον ῥοφήσει ζωμὸν ἡμερῶν τριῶν,
*how-much you-will-gulp broth for-days three*
ὅσας δὲ κατέδει ξόλικας ἑφθὰς καὶ κρέα.
*how-many and you-will-eat-up sausages boiled and meats*
ἀλλ' ὦ φίλ' Ἑρμῆ χαῖρε πολλά. ΕΡΜΗΣ καὶ σύ γε
*but O dear Hermes hail much and you at-least*
ὦνθρωπε χαίρων ἄπιθι καὶ μέμνησό μου.
*O-man rejoicing go-off and remember me*
ΤΡΥΓΑΙΟΣ ὦ κάνθαρ' οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.
*O beetle home home let-us-fly-off*

ΕΡΜΗΣ οὐκ ἐνθάδ' ὦ τᾶν ἔστι. ΤΡΥΓΑΙΟΣ ποῖ γὰρ οἴχεται;
*not here O my-friend it-is where for has-it-gone*

ΕΡΜΗΣ ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
*under chariot going of-Zeus carries-lightning*

ΤΡΥΓΑΙΟΣ πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;
*whence then the wretched here will-have food*

ΕΡΜΗΣ τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.
*the — of-Ganymede ambrosia it-will-eat*

ΤΡΥΓΑΙΟΣ πῶς δῆτ' ἐγὼ καταβήσομαι; ΕΡΜΗΣ θάρρει, καλῶς· 725
*how then I will-I-get-down take-heart well*

τῇδὶ παρ' αὐτὴν τὴν θεόν. ΤΡΥΓΑΙΟΣ δεῦρ' ὦ κόραι
*this-way by herself the goddess here O girls*

ἕπεσθον ἄμ' ἐμοὶ θᾶττον, ὡς πολλοὶ πάνυ
*follow-you-two with me quicker since many very*

ποθοῦντες ὑμᾶς ἀναμένουσ' ἐστυκότες.
*longing-for you await with-hard-ons*

## V · THE PARABASIS

*The chorus praises the poet for ridding comedy of starving Heracleses, beaten slaves, and lice, and for attacking the greatest monster, Cleon, who has Cynna's eyes and a hundred flatterers' heads, and it asks the bald to help him win. Then the Muse is bidden to celebrate weddings and feasts and to keep away from Carcinus and his dancing sons and from Morsimus and Melanthius.*

ΧΟΡΟΣ ἀλλ' ἴθι χαίρων· ἡμεῖς δὲ τέως
*but go rejoicing we and meanwhile*

τάδε τὰ σκεύη παραδόντες
*these the gear having-handed-over*

τοῖς ἀκολούθοις δῶμεν σῴζειν, ὡς εἰώθασι μάλιστα 730
*to-the attendants let-us-give to-keep since are-wont most*

περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται
*around the stage-buildings most thieves*
κυπτάζειν καὶ κακοποιεῖν.
*to-prowl and to-do-mischief*
ἀλλὰ φυλάττετε ταῦτ' ἀνδρείως· ἡμεῖς δ' αὖ τοῖσι θεαταῖς
*but guard these manfully we and in-turn to-the spectators*
ἣν ἔχομεν ὁδὸν λόγων εἴπωμεν ὅσα τε νοῦς ἔχει.
*which we-have road of-words let-us-tell as-many-as and mind has*
χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς
*one-should indeed to-beat the rod-bearers if any comic-poet*
735 αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις·
*himself praised to the audience coming-forward in the anapaests*
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος
*if and then fitting anyone to-honor daughter of-Zeus who best*
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται,
*comic-producer of-men and most-famous has-become*
ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.
*worthy to-be says of-praise great the producer our*
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους
*first indeed for the rivals*
μόνος ἀνθρώπων κατέπαυσεν
*alone of-men he-stopped*
740 ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ
*at the rags jesting always*
καὶ τοῖς φθειρσὶν πολεμοῦντας,
*and with-the lice warring*
τούς θ' Ἡρακλέας τοὺς μάττοντας
*the and Heracleses the kneading*
καὶ τοὺς πεινῶντας ἐκείνους
*and the starving those*

ἐξήλασ᾽ ἀτιμώσας πρῶτος, καὶ τοὺς δούλους παρέλυσεν
*he-drove-out dishonoring first and the slaves he-released*
τοὺς φεύγοντας καξαπατῶντας καὶ τυπτομένους ἐπίτηδες,
*the fleeing and-deceiving and beaten on-purpose*
οὓς ἐξῆγον κλάοντας ἀεί, καὶ τούτους οὕνεκα τουδί,
*whom they-brought-on weeping always and these for-the-sake this-here*
ἵν᾽ ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ᾽ ἀνέροιτο,
*so-that the fellow-slave jesting-at of-him the blows then might-ask*
“ὦ κακόδαιμον τί τὸ δέρμ᾽ ἔπαθες;
*O ill-starred what the hide did-you-suffer*
μῶν ὑστριχὶς εἰσέβαλέν σοι
*surely-not porcupine-whip invaded you*
ἐς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὸ νῶτον;”
*into the ribs with-great army and-felled-the-trees-of the back*
τοιαῦτ᾽ ἀφελὼν κακὰ καὶ φόρτον
*such having-removed evils and load*
καὶ βωμολοχεύματ᾽ ἀγεννῆ
*and buffooneries base*
ἐποίησε τέχνην μεγάλην ἡμῖν κἀπύργωσ᾽ οἰκοδομήσας
*he-made art great for-us and-towered building*
ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν οὐκ ἀγοραίοις,
*with-words great and thoughts and jests not of-the-market*
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυναῖκας,
*not private mannikins satirizing nor women*
ἀλλ᾽ Ἡρακλέους ὀργήν τιν᾽ ἔχων τοῖσι μεγίστοις ἐπεχείρει,
*but of-Heracles anger some having the greatest he-attacked*
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς κἀπειλὰς βορβοροθύμους,
*passing-through of-hides smells terrible and-threats mud-spirited*
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι,
*and first indeed I-fight of-all with-the-very the jagged-toothed*

οὗ δεινόταται μὲν ἀπ᾽ ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
*whose most-terrible indeed from eyes of-Cynna rays flashed*
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
*hundred and in-circle heads of-flatterers about-to-wail licked*
περὶ τὴν κεφαλήν, φωνὴν δ᾽ εἶχεν
*around the head voice and he-had*
χαράδρας ὄλεθρον τετοκυίας,
*of-torrent destruction having-borne*
φώκης δ᾽ ὀσμήν, Λαμίας ὄρχεις ἀπλύτους,
*of-seal and smell of-Lamia balls unwashed*
πρωκτὸν δὲ καμήλου.
*ass and of-camel*
τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ᾽, ἀλλ᾽ ὑπὲρ ὑμῶν πολεμίζων
*such seeing portent not I-took-fright but for you warring*
ἀντεῖχον ἀεὶ καὶ τῶν ἄλλων νήσων. ὧν οὕνεκα νυνὶ
*I-held-out always and the other islands of-which on-account-of now*
ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς καὶ μνήμονας εἶναι.
*to-repay me the favor you fitting and mindful to-be*
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν
*and for before having-fared according-to mind*
οὐχὶ παλαίστρας περινοστῶν
*not wrestling-schools roaming*
παῖδας ἐπείρων, ἀλλ᾽ ἀράμενος τὴν σκευὴν εὐθὺς ἐχώρουν,
*boys I-tempted but having-lifted the gear at-once I-went*
παῦρ᾽ ἀνιάσας, πόλλ᾽ εὐφράνας,
*few having-pained much having-cheered*
πάντα παρασχὼν τὰ δέοντα.
*all providing the needful-things*
πρὸς ταῦτα χρεὼν εἶναι μετ᾽ ἐμοῦ
*to this needful to-be with me*

καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας·
*both the men and the boys*
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν
*and to-the bald-men we-advise*
ξυσπουδάζειν περὶ τῆς νίκης.
*to-be-zealous-with-us about the victory*
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
*every for one will-say winning me*
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις,
*both-at table and at-drinking-parties*
"φέρε τῷ φαλακρῷ, δὸς τῷ φαλακρῷ
*bring to-the bald-one give to-the bald-one*
τῶν τρωγαλίων, καὶ μἀφαίρει
*of-the sweetmeats and do-not-take-away*
γενναιοτάτου τῶν ποιητῶν
*from-the-noblest of-the poets*
ἀνδρὸς τὸ μέτωπον ἔχοντος".
*man the forehead having*
Μοῦσα σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ
*Muse you indeed wars having-thrust-away with me*
τοῦ φίλου χόρευσον,
*the friend dance*
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
*celebrating of-gods both weddings of-men and feasts*
καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
*and festivities of-the-blessed for-you for these from beginning are-a-care*
ἢν δέ σε Καρκίνος ἐλθὼν
*if and you Carcinus coming*
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι,
*beg with the sons to-dance*

μήθ' ὑπάκουε μήτ' ἔλθῃς
*neither obey nor go*
συνέριθος αὐτοῖς,
*fellow-worker for-them*
ἀλλὰ νόμιζε πάντας
*but think all*
ὄρτυγας οἰκογενεῖς γυλιαύχενας ὀρχηστὰς
*quails home-bred knapsack-necked dancers*
ναννοφυεῖς σφυράδων ἀποκνίσματα μηχανοδίφας.
*dwarf-sized of-goat-droppings scrapings machine-chasers*
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ ὃ παρ' ἐλπίδας
*and for said the father which beyond hopes*
εἶχε τὸ δρᾶμα γαλῆν τῆς ἑσπέρας ἀπάγξαι.
*had the play weasel of-the evening to-strangle*
τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
*such-things one-must of-Graces public-songs fair-tressed*
τὸν σοφὸν ποιητὴν
*the wise poet*
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν
*to-hymn when spring-songs indeed with-voice swallow*
ἑζομένη κελαδῇ, χορὸν δὲ μὴ 'χῃ Μόρσιμος
*sitting sings chorus and not has Morsimus*
μηδὲ Μελάνθιος, οὗ δὴ
*nor Melanthius whose indeed*
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ'
*most-bitter voice uttering I-heard*
ἡνίκα τῶν τραγῳδῶν
*when of-the tragedians*
τὸν χορὸν εἶχον ἀδελφός
*the chorus had the-brother*

τε καὶ αὐτός, ἄμφω
*and also himself both*
Γοργόνες ὀψοφάγοι βατιδοσκόποι Ἅρπυιαι,
*Gorgons fish-gluttons skate-watchers Harpies*
γραοσόβαι μιαροὶ τραγομάσχαλοι ἰχθυολῦμαι·
*crone-chasers foul goat-armpitted fish-wreckers*
ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ
*on-whom having-hawked-down great and broad*
Μοῦσα θεὰ μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.
*Muse goddess with me join-in-play the festival*

## VI · HOLIDAY DELIVERED

*Trygaeus tells the audience that from heaven they looked small and wicked, assures his slave that men who die become stars, the poet Ion among them, and has the bath prepared for his wedding to Harvest. He hands Holiday over to the prytanes, describing with bawdy relish the games and races they will hold with her, and the chorus hails him as savior of all men.*

ΤΡΥΓΑΙΟΣ ὡς χαλεπὸν ἐλθεῖν ἦν ἄρ' εὐθὺ τῶν θεῶν.
*how hard to-go was then straight-to the gods*
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλει.
*I-at-least surely am-worn-out utterly the two-legs*
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ'. ἔμοιγέ τοι
*small and to-look-at from-above you-were to-me-at-least surely*
ἀπὸ τοὐρανοῦ 'φαίνεσθε κακοήθεις πάνυ,
*from the-sky you-appeared ill-natured very*
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.
*from-here and much somewhat more-ill-natured*
ΟΙΚΕΤΗΣ ὦ δέσποθ' ἥκεις; ΤΡΥΓΑΙΟΣ ὡς ἐγὼ 'πυθόμην τινός.
*O master you-have-come as I heard from-someone*

ΟΙΚΕΤΗΣ τί δ' ἔπαθες; ΤΡΥΓΑΙΟΣ ἤλγουν τὼ σκέλει μακρὰν ὁδὸν
*what and did-you-suffer I-ached the two-legs long way*
διεληλυθώς. ΟΙΚΕΤΗΣ ἴθι νυν κάτειπέ μοι — ΤΡΥΓΑΙΟΣ τὸ τί;
*having-gone-through come now tell me the what*
ΟΙΚΕΤΗΣ ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
*other any did-you-see man along the air*
πλανώμενον πλὴν σαυτόν; ΤΡΥΓΑΙΟΣ οὔκ, εἰ μή γέ που
*wandering except yourself no if not at-least perhaps*
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.
*souls two or three of-dithyramb-makers*
ΟΙΚΕΤΗΣ τί δ' ἔδρων;
*what and were-they-doing*
ΤΡΥΓΑΙΟΣ ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι
*they-gathered preludes flying-about*
τὰς ἐνδιαεριαυερινηχέτους τινάς.
*the in-the-air-airy-floating some*
ΟΙΚΕΤΗΣ οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι, κατὰ τὸν ἀέρα
*not was-it then nor what they-say along the air*
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
*that stars we-become when one dies*
ΤΡΥΓΑΙΟΣ μάλιστα. ΟΙΚΕΤΗΣ καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;
*very-much and who is star now there*
ΤΡΥΓΑΙΟΣ Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
*Ion the Chian who composed long-ago*
ἐνθάδε τὸν ἀοῖόν ποθ'· ὡς δ' ἦλθ', εὐθέως
*here the morning-star once when and he-came at-once*
ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.
*morning-star him all called star*

ΟΙΚΕΤΗΣ τίνες γάρ εἰσ᾽ οἱ διατρέχοντες ἀστέρες,
*who for are the running stars*
οἳ καόμενοι θέουσιν; ΤΡΥΓΑΙΟΣ ἀπὸ δείπνου τινὲς
*which burning run from dinner some*
τῶν πλουσίων οὗτοι βαδίζουσ᾽ ἀστέρων,
*of-the rich these walk stars*
ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
*lanterns having in and the lanterns fire*
ἀλλ᾽ εἴσαγ᾽ ὡς τάχιστα ταυτηνὶ λαβών,
*but lead-in as quickly-as-possible this-here having-taken*
καὶ τὴν πύελον κατάκλυζε καὶ θέρμαιν᾽ ὕδωρ,
*and the tub rinse and heat water*
στόρνυ τ᾽ ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος.
*spread and for-me and for-her bridal bed*
καὶ ταῦτα δράσας ἦκε δεῦρ᾽ αὖθις πάλιν·
*and these having-done come here again back*
ἐγὼ δ᾽ ἀποδώσω τήνδε τῇ βουλῇ τέως.
*I and will-hand-over this-one to-the council meanwhile*
ΟΙΚΕΤΗΣ πόθεν δ᾽ ἔλαβες ταύτας;
*whence and did-you-get these*
ΤΡΥΓΑΙΟΣ ὁπόθεν; ἐκ τοὐρανοῦ.
*whence from the-sky*
ΟΙΚΕΤΗΣ οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον,
*not — longer I-would-give for-the gods three-obols*
εἰ πορνοβοσκοῦσ᾽ ὥσπερ ἡμεῖς οἱ βροτοί.
*if they-keep-brothels as we the mortals*

ΤΡΙΓΑΙΟΣ οὔκ, ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
*no but also-there live from these some*

ἄγε νυν ἴωμεν. ΟΙΚΕΤΗΣ εἰπέ μοι, δῶ καταφαγεῖν
*come now let-us-go tell me shall-I-give to-eat*

ταύτῃ τι; ΤΡΙΓΑΙΟΣ μηδέν· οὐ γὰρ ἐθελήσει φαγεῖν
*to-her anything nothing not for she-will-be-willing to-eat*

οὔτ' ἄρτον οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
*neither bread nor barley-cake accustomed always*

παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
*with the gods ambrosia to-lick above*

ΟΙΚΕΤΗΣ λείχειν ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.
*to-lick then for-her and-here must-be-prepared*

ΧΟΡΟΣ εὐδαιμονικῶς γ' ὁ πρεσβύτης,
*blessedly at-least the old-man*

ὅσα γ' ὧδ' ἰδεῖν,
*as-far-as at-least so to-see*

τὰ νῦν τάδε πράττει.
*the now these fares*

ΤΡΙΓΑΙΟΣ τί δῆτ' ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα;
*what then when bridegroom me you-see bright being*

ΧΟΡΟΣ ζηλωτὸς ἔσει, γέρον,
*enviable you-will-be old-man*

αὖθις νέος ὢν πάλιν,
*again young being back*

μύρῳ κατάλειπτος.
*with-perfume anointed*

ΤΡΙΓΑΙΟΣ οἶμαι. τί δῆθ' ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;
*I-think what then when being-with the titties I-hold*

ΧΟΡΟΣ εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.
*happier you-will-appear than-the of-Carcinus whirligigs*

ΤΡΥΓΑΙΟΣ οὔκουν δικαίως; ὅστις εἰς
*not-then justly who on*
ὄχημα κανθάρου ’πιβὰς
*vehicle of-beetle having-mounted*
ἔσωσα τοὺς Ἕλληνας, ὥστ’
*I-saved the Greeks so-that*
ἐν τοῖς ἀγροῖσιν αὐτοὺς
*in the fields them*
ἅπαντας ὄντας ἀσφαλῶς
*all being safely*
βινεῖν τε καὶ καθεύδειν.
*to-fuck both and to-sleep*
ΟΙΚΕΤΗΣ ἡ παῖς λέλουται καὶ τὰ τῆς πυγῆς καλά·
*the girl is-bathed and the of-the buttocks fine*
ὁ πλακοῦς πέπεπται, σησαμῆ ξυμπλάττεται.
*the flat-cake is-baked sesame-cake is-kneaded*
καὶ τἄλλ’ ἁπαξάπαντα· τοῦ πέους δὲ δεῖ.
*and the-others all-together of-the cock and there-is-need*
ΤΡΥΓΑΙΟΣ ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
*come now let-us-hand-over this — Holiday*
ἀνύσαντε τῇ βουλῇ. ΟΙΚΕΤΗΣ τίς αὐτηί; ΤΡΥΓΑΙΟΣ τί φῄς;
*quickly to-the council who this-here what do-you-say*
αὕτη Θεωρία ’στίν. ΟΙΚΕΤΗΣ ἣν ἡμεῖς ποτε
*she Holiday is whom we once*
ἐπαίομεν Βραυρωνάδ’ ὑποπεπωκότες;
*we-banged to-Brauron having-drunk-a-little*
ΤΡΥΓΑΙΟΣ σάφ’ ἴσθι, καλήφθη γε μόλις. ΟΙΚΕΤΗΣ ὦ δέσποτα
*clearly know and-she-was-caught at-least hardly O master*
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.
*how-great she-has the ass-quinquennial*

ΤΡΙΓΑΙΟΣ εἶεν, τίς ἐσθ' ὑμῶν δίκαιος, τίς ποτε;
*well who is of-you just who ever*
τίς διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
*who will-guard this-one for-the council having-taken*
οὗτος τί περιγράφεις; ΟΙΚΕΤΗΣ τὸ δεῖν' εἰς Ἴσθμια
*you why do-you-trace-around the what-d'you-call-it at Isthmia*
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
*tent for-myself for-the cock I-reserve*
ΤΡΙΓΑΙΟΣ οὔπω λέγεθ' ὑμεῖς τίς ὁ φυλάξων. δεῦρο σύ·
*not-yet you-say you who the about-to-guard here you*
καταθήσομαι γὰρ αὐτὸς ἐς μέσους ἄγων.
*I-will-set-down for myself into the-middle leading*
ΟΙΚΕΤΗΣ ἐκεινοσὶ νεύει. ΤΡΙΓΑΙΟΣ τίς; ΟΙΚΕΤΗΣ ὅστις; Ἀριφράδης,
*that-one-there nods who who Ariphrades*
ἄγειν παρ' αὑτὸν ἀντιβολῶν. ΤΡΙΓΑΙΟΣ ἀλλ' ὦ μέλε
*to-lead to himself begging but O friend*
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
*the broth of-her falling-on he-will-lap-up*
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
*come now you set-down first the gear on-the-ground*
βουλή, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
*council prytanes look-at — Holiday*
σκέψασθ' ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
*look how-many for-you goods I-will-hand-over bringing*
ὥστ' εὐθέως ἅραντας ὑμᾶς τὼ σκέλει
*so-that at-once raising you the two-legs*
ταύτης μετέωρα καταγαγεῖν ἀνάρρυσιν.
*of-her aloft to-bring-down the-sacrifice*
τουτὶ δ' ὁρᾶτ' ὀπτάνιον ἡμῖν ὡς καλόν.
*this-here and see oven to-us how fine*

ΟΙΚΕΤΗΣ διὰ ταῦτα καὶ κεκάπνικ᾽ ἄρ᾽· ἐνταυθοῖ γὰρ οὖν
*because-of this also it-is-smoked then here for indeed*
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ βουλῇ ποτ᾽ ἦν.
*before the war the pots for-the council once were*
ΤΡΥΓΑΙΟΣ ἔπειτ᾽ ἀγῶνά γ᾽ εὐθὺς ἐξέσται ποιεῖν
*then contest at-least at-once it-will-be-possible to-make*
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
*her having tomorrow fine very*
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,
*on ground to-wrestle on-all-fours to-stand*
πλαγίαν καταβάλλειν, ἐς γόνατα κύβδ᾽ ἑστάναι,
*sideways to-throw-down on knees bent-over to-stand*
καὶ παγκράτιόν γ᾽ ὑπαλειψαμένοις νεανικῶς
*and pancratium at-least having-oiled-yourselves youthfully*
παίειν ὀρύττειν πὺξ ὁμοῦ καὶ τῷ πέει·
*to-strike to-dig with-fist together and with-the cock*
τρίτῃ δὲ μετὰ ταῦθ᾽ ἱπποδρομίαν ἄξετε,
*on-the-third and after this horse-race you-will-hold*
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ,
*so-that indeed racer racer will-out-race*
ἅρματα δ᾽ ἐπ᾽ ἀλλήλοισιν ἀνατετραμμένα
*chariots and on one-another overturned*
φυσῶντα καὶ πνέοντα προσκινήσεται·
*puffing and breathing will-hump-against*
ἕτεροι δὲ κείσονταί γ᾽ ἀπεψωλημένοι
*others and will-lie at-least skinned-back*
περὶ ταῖσι καμπαῖς ἡνίοχοι πεπτωκότες.
*about the turns charioteers fallen*
ἀλλ᾽ ὦ πρυτάνεις δέχεσθε τὴν Θεωρίαν.
*but O prytanes receive — Holiday*

θέασ᾽ ὡς προθύμως ὁ πρύτανις παρεδέξατο.
*look how eagerly the prytanis received*

ἀλλ᾽ οὐκ ἂν εἴ τι προῖκα προσαγαγεῖν σ᾽ ἔδει,
*but not — if anything gratis to-bring-in you had-to*

ἀλλ᾽ ηὗρον ἄν σ᾽ ὑπέχοντα τὴν ἐκεχειρίαν.
*but I-would-have-found — you holding-out the armistice*

910 ΧΟΡΟΣ ἦ χρηστὸς ἀνὴρ πολίτης
*truly good man citizen*

ἐστὶν ἅπασιν ὅστις
*is for-all who*

γ᾽ ἐστὶ τοιοῦτος.
*at-least is such*

ΤΡΥΓΑΙΟΣ ὅταν τρυγᾶτ᾽, εἴσεσθε πολλῷ μᾶλλον οἷός εἰμι.
*when you-harvest you-will-know much more what-sort I-am*

ΧΟΡΟΣ καὶ νῦν σύ γε δῆλος εἶ·
*and now you at-least plain are*

σωτὴρ γὰρ ἅπασιν ἀνθρώποις
*savior for to-all men*

915 γεγένησαι.
*you-have-become*

ΤΡΥΓΑΙΟΣ φήσεις ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.
*you-will-say when you-drink-up of-wine new beaker*

ΧΟΡΟΣ καὶ πλήν γε τῶν θεῶν ἀεί σ᾽ ἡγησόμεσθα πρῶτον.
*and except at-least the gods always you we-shall-consider first*

ΤΡΥΓΑΙΟΣ πολλῶν γὰρ ὑμῖν ἄξιος
*of-much for to-you worthy*

Τρυγαῖος ἀθμονεὺς ἐγώ,
*Trygaeus of-Athmonon I*

920 δεινῶν ἀπαλλάξας πόνων
*from-terrible having-released toils*

τὸν δημότην ὅμιλον,
*the deme-folk throng*
καὶ τὸν γεωργικὸν λεὼν
*and the farming people*
Ὑπέρβολόν τε παύσας.
*Hyperbolus and having-stopped*

## VII · THE SACRIFICE

*Trygaeus sacrifices a sheep to Peace, praying that she end the war, fill the market with good things, and bring Morychus and the gourmands while Melanthius wails. The oracle-monger Hierocles arrives at the smell, denouncing the peace in hexameters and claiming a share of the innards; Trygaeus and his slave answer him with oracles of their own and drive him off with a stick, stripping him of his fleeces.*

ΟΙΚΕΤΗΣ ἄγε δὴ τί νῷν ἐντευθενὶ ποιητέον;
*come now what by-us-two from-here must-be-done*
ΤΡΥΓΑΙΟΣ τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;
*what and else at-least than her with-pots must-be-installed*
ΧΟΡΟΣ χύτραισιν, ὥσπερ μεμφόμενον Ἑρμῆδιον;
*with-pots like complaining little-Hermes*
ΤΡΥΓΑΙΟΣ τί δαὶ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ; 925
*what then does-it-seem do-you-want with-fatted ox*
ΧΟΡΟΣ βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέῃ.
*with-ox by-no-means so-that not to-help-out anywhere it-be-needful*
ΤΡΥΓΑΙΟΣ ἀλλ' ὖι παχείᾳ καὶ μεγάλῃ;
*but with-pig fat and big*
ΧΟΡΟΣ μὴ μή. ΤΡΥΓΑΙΟΣ τιή;
*no no why*
ΧΟΡΟΣ ἵνα μὴ γένηται Θεογένους ὑηνία.
*so-that not may-arise of-Theogenes swinishness*

ΤΡΙΓΑΙΟΣ τῷ δὴ δοκεῖ σοι δῆτα
*with-what indeed seems-good to-you then*
τῶν λοιπῶν; ΧΟΡΟΣ ὀΐ.
*of-the remaining with-sheep*
ΤΡΙΓΑΙΟΣ ὀΐ; ΧΟΡΟΣ ναὶ
*with-sheep yes*
μὰ Δί'. ΤΡΙΓΑΙΟΣ ἀλλὰ τοῦτό γ' ἔστ' Ἰωνικὸν
*by Zeus but this at-least is Ionic*
τὸ ῥῆμ'. ΧΟΡΟΣ ἐπίτηδές γ', ἵν' ὅταν ἐν τἠκκλησίᾳ
*the word on-purpose at-least so-that when in the-assembly*
ὡς χρὴ πολεμεῖν λέγῃ τις, οἱ καθήμενοι
*that one-must to-make-war says someone the sitting*
ὑπὸ τοῦ δέους λέγωσ' Ἰωνικῶς ὀἰ —
*from the fear may-say Ionically baa*
ΤΡΙΓΑΙΟΣ εὖ τοι λέγεις. ΧΟΡΟΣ καὶ τἄλλα γ' ὦσιν ἤπιοι.
*well surely you-say and the-rest at-least they-may-be gentle*
ὥστ' ἐσόμεθ' ἀλλήλοισιν ἀμνοὶ τοὺς τρόπους
*so-that we-shall-be with-one-another lambs the ways*
καὶ τοῖσι συμμάχοισι πραότεροι πολύ.
*and to-the allies milder much*
ΤΡΙΓΑΙΟΣ ἴθι νυν ἄγ' ὡς τάχιστα τὸ πρόβατον λαβών·
*come now lead as quickly-as-possible the sheep having-taken*
ἐγὼ δὲ ποριῶ βωμὸν ἐφ' ὅτου θύσομεν.
*I and will-provide altar on which we-shall-sacrifice*
ΧΟΡΟΣ ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ χἠ τύχη κατορθοῖ,
*how all-things as-many-as — god wishes and-the fortune sets-right*
χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ
*goes according-to mind other and on-other*
τούτων κατὰ καιρὸν ἀπαντᾷ.
*of-these in season meets*

ΤΡΥΓΑΙΟΣ ὡς ταῦτα δῆλά γ' ἔσθ'·
*how these plain at-least are*
ὁ γὰρ βωμὸς θύρασι καὶ δή.
*the for altar at-the-door and indeed*
ΧΟΡΟΣ ἐπείγετέ νυν ἐν ὅσῳ
*hurry now in what-time*
σοβαρὰ θεόθεν κατέχει
*strong from-god holds*
πολέμου μετάτροπος αὔρα. 945
*of-war turned-back breeze*
νῦν γὰρ δαίμων φανερῶς
*now for god manifestly*
εἰς ἀγαθὰ μεταβιβάζει.
*to goods changes*
ΤΡΥΓΑΙΟΣ τὸ κανοῦν πάρεστ' ὀλὰς ἔχον
*the basket is-here barley having*
καὶ στέμμα καὶ μάχαιραν,
*and garland and knife*
καὶ πῦρ γε τουτί, κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ὑμᾶς.
*and fire at-least this-here and-nothing holds-up except the sheep you*
ΧΟΡΟΣ οὔκουν ἁμιλλήσεσθον; ὡς 950
*not-then will-you-two-compete since*
ἦν Χαῖρις ὑμᾶς ἴδῃ,
*if Chaeris you sees*
πρόσεισιν αὐλήσων ἄκλητος,
*he-will-come-up to-pipe uninvited*
κᾆτα τοῦτ' εὖ οἶδ' ὅτι
*and-then this well I-know that*
φυσῶντι καὶ πονουμένῳ
*to-him-blowing and toiling*

προσδώσετε δήπου.
*you-will-give-something surely*

ΤΡΙΓΑΙΟΣ ἄγε δὴ τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα
*come now the basket having-taken you and the lustral-water*
περίιθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
*go-round the altar quickly rightwards*

ΟΙΚΕΤΗΣ ἰδού· λέγοις ἂν ἄλλο· περιελήλυθα.
*look you-may-say — something-else I-have-gone-round*

ΤΡΙΓΑΙΟΣ φέρε δὴ τὸ δαλίον τόδ' ἐμβάψω λαβών,
*come now the brand this let-me-dip having-taken*
σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὀλῶν,
*shake you quickly you and hold-out of-the barley-grains*
καὐτός γε χερνίπτου παραδοὺς ταύτην ἐμοί,
*and-yourself at-least wash-hands having-handed this to-me*
καὶ τοῖς θεαταῖς ῥῖπτε τῶν κριθῶν. ΟΙΚΕΤΗΣ ἰδού.
*and to-the spectators throw of-the barley look*

ΤΡΙΓΑΙΟΣ ἔδωκας ἤδη; ΟΙΚΕΤΗΣ νὴ τὸν Ἑρμῆν ὥστε γε
*you-have-given already by — Hermes so-that at-least*
τούτων ὅσοιπέρ εἰσι τῶν θεωμένων
*of-these as-many-as are of-the spectators*
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
*not there-is anyone who not barley-grain has*

ΤΡΙΓΑΙΟΣ οὐχ αἱ γυναῖκές γ' ἔλαβον. ΟΙΚΕΤΗΣ ἀλλ' εἰς ἑσπέραν
*not the women at-least got but at evening*
δώσουσιν αὐταῖς ἄνδρες. ΤΡΙΓΑΙΟΣ ἀλλ' εὐχώμεθα.
*will-give to-them the-men but let-us-pray*
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί;
*who here where ever are many and-good*

ΟΙΚΕΤΗΣ τοισδὶ φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
*to-these-here come let-me-give many for are and-good*

ΤΡΥΓΑΙΟΣ τούτους ἀγαθοὺς ἐνόμισας; ΟΙΚΕΤΗΣ οὐ γάρ, οἵτινες
*these good you-thought not for who*
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ
*us pouring water so-great*
ἐς ταὐτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
*to the-same this stand going place*
ΤΡΥΓΑΙΟΣ ἀλλ' ὡς τάχιστ' εὐχώμεθ'. ΧΟΡΟΣ εὐχώμεσθα δή.
*but as quickly-as-possible let-us-pray let-us-pray indeed*
ΤΡΥΓΑΙΟΣ ὦ σεμνοτάτη βασίλεια θεὰ
*O most-revered queen goddess*
πότνι' Εἰρήνη,
*lady Peace*
δέσποινα χορῶν, δέσποινα γάμων,
*mistress of-dances mistress of-weddings*
δέξαι θυσίαν τὴν ἡμετέραν.
*receive sacrifice the our*
ΧΟΡΟΣ δέξαι δῆτ' ὦ πολυτιμήτη
*receive then O much-honored*
νὴ Δία, καὶ μὴ ποίει γ' ἅπερ αἱ
*by Zeus and not do at-least what-indeed the*
μοιχευόμεναι δρῶσι γυναῖκες.
*adulterous do women*
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
*and for they turning-aside*
τῆς αὐλείας παρακύπτουσιν,
*of-the courtyard-door peep-out*
κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς
*and-if anyone attends the mind to-them*
ἀναχωροῦσιν,
*they-withdraw*

κᾆτ' ἢν ἀπίῃ παρακύπτουσιν.
*and-then if he-goes-away they-peep-out*
τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.
*of-these you do nothing still to-us*
ΤΡΥΓΑΙΟΣ μὰ Δί' ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
*by Zeus but show whole yourself*
γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
*nobly to-the lovers*
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
*to-us who for-you are-worn-out already*
τρία καὶ δέκ' ἔτη,
*three and ten years*
λῦσον δὲ μάχας καὶ κορκορυγάς,
*end and battles and tumults*
ἵνα Λυσιμάχην σε καλῶμεν.
*so-that Lysimache you we-may-call*
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
*stop and our the suspicions*
τὰς περικόμψους,
*the over-subtle*
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους·
*with-which we-chatter at one-another*
μεῖξον δ' ἡμᾶς τοὺς Ἕλληνας
*mix and us the Greeks*
πάλιν ἐξ ἀρχῆς
*again from beginning*
φιλίας χυλῷ καὶ συγγνώμῃ
*of-friendship with-juice and with-forgiveness*
τινὶ πραοτέρᾳ κέρασον τὸν νοῦν·
*some milder blend the mind*

καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν
*and the market for-us with-goods*
ἐμπλησθῆναι, μεγάλων σκορόδων,
*to-be-filled great garlic*
σικύων πρῴων, μήλων, ῥοιῶν.
*cucumbers early apples pomegranates*
δούλοισι χλανισκιδίων μικρῶν·
*for-slaves little-cloaks small*
κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
*and-from Boeotians at-least bringing to-see*
χῆνας νήττας φάττας τροχίλους·
*geese ducks doves wrens*
καὶ Κωπᾴδων ἐλθεῖν σπυρίδας,
*and of-Copaic to-come baskets*
καὶ περὶ ταύτας ἡμᾶς ἁθρόους
*and around these us in-a-crowd*
ὀψωνοῦντας τυρβάζεσθαι
*buying-fish to-jostle*
Μορύχῳ Τελέᾳ Γλαυκέτῃ, ἄλλοις
*with-Morychus Teleas Glaucetes others*
τένθαις πολλοῖς· κᾆτα Μελάνθιον
*gourmands many and-then Melanthius*
ἥκειν ὕστερον ἐς τὴν ἀγοράν,
*to-come later to the market*
τὰς δὲ πεπρᾶσθαι, τὸν δ' ὀτοτύζειν,
*them and to-have-been-sold him and to-wail*
εἶτα μονῳδεῖν ἐκ Μηδείας,
*then to-sing-a-monody from Medea*
"ὀλόμαν ὀλόμαν, ἀποχηρωθεὶς
*I-perished I-perished widowed*

τᾶς ἐν τεύτλοισι λοχευομένας·”
*of-her in beets lying-in*

τοὺς δ’ ἀνθρώπους ἐπιχαίρειν.
*the and people to-rejoice*

ταῦτ’ ὦ πολυτίμητ’ εὐχομένοις ἡμῖν δίδου.
*these O much-honored praying to-us give*

ΟΙΚΕΤΗΣ λαβὲ τὴν μάχαιραν· εἶθ’ ὅπως μαγειρικῶς
*take the knife then see-that cook-wise*

σφάξεις τὸν οἶν. ΤΡΥΓΑΙΟΣ ἀλλ’ οὐ θέμις. ΟΙΚΕΤΗΣ τιὴ τί δή;
*you-will-slaughter the sheep but not lawful why what indeed*

ΤΡΥΓΑΙΟΣ οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
*not is-pleased surely Peace with-slaughterings*

οὐδ’ αἱματοῦται βωμός. ἀλλ’ εἴσω φέρων
*nor is-bloodied altar but inside carrying*

θύσας τὰ μηρί’ ἐξελὼν δεῦρ’ ἔκφερε,
*having-sacrificed the thigh-bones having-taken-out here bring-out*

χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σῴζεται.
*and-so the sheep for-the chorus-producer is-saved*

ΧΟΡΟΣ σέ τοι θύρασι χρὴ *** μένοντα τοίνυν
*you surely at-the-door one-must (lacuna) staying well-then*

σχίζας δευρὶ τιθέναι ταχέως
*split-wood here to-place quickly*

τά τε πρόσφορα πάντ’ ἐπὶ τούτοις.
*the and fitting all on these*

ΤΡΥΓΑΙΟΣ οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι;
*not-then do-I-seem to-you prophet-like the brushwood to-lay*

ΧΟΡΟΣ πῶς δ’ οὐχί; τί γάρ σε πέφευγ’
*how and not what for you has-escaped*

ὅσα χρὴ σοφὸν ἄνδρα; τί δ’ οὐ
*as-many-as needs wise man what and not*

σὺ φρονεῖς ὁπόσα χρεών ἐστιν
*you think as-many-as needful is*
τόν γε σοφῇ δόκιμον
*the-one at-least in-wise approved*
φρενὶ πορίμῳ τε τόλμῃ;
*mind resourceful and daring*
ΤΡΥΓΑΙΟΣ ἦ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει,
*the split-wood at-least kindled — Stilbides presses*
καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.
*and the table I-will-bring and of-boy not there-will-be-need*
ΧΟΡΟΣ τίς οὖν ἂν οὐκ ἐπαινέσειεν
*who then — not would-praise*
ἄνδρα τοιοῦτον, ὅστις
*man such who*
πόλλ' ἀνατλὰς ἔσωσε
*much having-endured saved*
τὴν ἱερὰν πόλιν;
*the holy city*
ὥστ' οὐχὶ μὴ παύσῃ ποτ' ὢν
*so-that not not you-will-cease ever being*
ζηλωτὸς ἅπασιν.
*enviable to-all*
ΟΙΚΕΤΗΣ ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών.
*these-here are-done place the two-thighs having-taken*
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
*I and for innards will-go and offering-cakes*
ΤΡΥΓΑΙΟΣ ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.
*to-me will-be-a-care these at-least but to-come you-ought*
ΟΙΚΕΤΗΣ ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
*look I-am-here surely-not to-delay to-you I-seem*

ΤΡΥΓΑΙΟΣ ὄπτα καλῶς νυν αὐτά· καὶ γὰρ οὑτοσὶ
*roast well now them and for this-here*
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
*approaches with-laurel someone crowned*
τίς ἄρα ποτ' ἐστίν; ΟΙΚΕΤΗΣ ὡς ἀλαζὼν φαίνεται·
*who then ever is-he how impostor he-appears*
μάντις τίς ἐστιν.
*prophet someone is-he*
ΤΡΥΓΑΙΟΣ οὐ μὰ Δί' ἀλλ' Ἱεροκλέης
*not by Zeus but Hierocles*
οὗτός γέ που 'σθ' ὁ χρησμολόγος οὑξ Ὠρεοῦ.
*this at-least surely is the oracle-monger the-from Oreus*
ΟΙΚΕΤΗΣ τί ποτ' ἄρα λέξει;
*what ever then will-he-say*
ΤΡΥΓΑΙΟΣ δῆλός ἐσθ' οὗτός γ' ὅτι
*plain is this at-least that*
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.
*will-oppose something to-the reconciliations*
ΟΙΚΕΤΗΣ οὔκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθεν.
*no but by the savor he-has-come-in*
ΤΡΥΓΑΙΟΣ μή νυν ὁρᾶν δοκῶμεν αὐτόν. ΟΙΚΕΤΗΣ εὖ λέγεις.
*not now to-see let-us-seem him well you-say*
ΙΕΡΟΚΛΗΣ τίς ἡ θυσία ποθ' αὑτηὶ καὶ τῷ θεῶν;
*what the sacrifice ever this-here and to-which of-gods*
ΤΡΥΓΑΙΟΣ ὄπτα σὺ σιγῇ κἄπαγ' ἀπὸ τῆς ὀσφύος.
*roast you in-silence and-take-off from the loin*
ΙΕΡΟΚΛΗΣ ὅτῳ δὲ θύετ' οὐ φράσεθ'; ΤΡΥΓΑΙΟΣ ἡ κέρκος ποιεῖ
*to-whom and you-sacrifice not will-you-tell the tail does*
καλῶς; ΟΙΚΕΤΗΣ καλῶς δῆτ' ὦ πότνι' Εἰρήνη φίλη.
*well well then O lady Peace dear*

ΙΕΡΟΚΛΗΣ ἄγε νυν ἀπάρχου κᾆτα δὸς τἀπάργματα.
*come now begin and-then give the-first-fruits*
ΤΡΥΓΑΙΟΣ ὀπτᾶν ἄμεινον πρῶτον. ΙΕΡΟΚΛΗΣ ἀλλὰ ταυταγὶ
*to-roast better first but these-here*
ἤδη ’στὶν ὀπτά. ΤΡΥΓΑΙΟΣ πολλὰ πράττεις, ὅστις εἶ.
*already are roasted many-things you-do whoever you-are*
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
*cut-up where table the libation bring*
ΙΕΡΟΚΛΗΣ ἡ γλῶττα χωρὶς τέμνεται. ΤΡΥΓΑΙΟΣ μεμνήμεθα. 1060
*the tongue separately is-cut we-remember*
ἀλλ’ οἶσθ’ ὃ δρᾶσον; ΙΕΡΟΚΛΗΣ ἢν φράσῃς.
*but do-you-know what do if you-tell*
ΤΡΥΓΑΙΟΣ μὴ διαλέγου
*not talk*
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
*to-us-two at-all to-Peace for holy-things we-sacrifice*
ΙΕΡΟΚΛΗΣ ὦ μέλεοι θνητοὶ καὶ νήπιοι, ΤΡΥΓΑΙΟΣ ἐς κεφαλὴν σοί.
*O wretched mortals and fools on head on-you*
ΙΕΡΟΚΛΗΣ οἵτινες ἀφραδίῃσι θεῶν νόον οὐκ ἀίοντες
*who in-follies of-gods mind not perceiving*
συνθήκας πεποίησθ’ ἄνδρες χαροποῖσι πιθήκοις, 1065
*compacts you-have-made men with-fierce-eyed apes*
ΤΡΥΓΑΙΟΣ αἰβοιβοῖ. ΙΕΡΟΚΛΗΣ τί γελᾷς;
*ha-ha what are-you-laughing-at*
ΤΡΥΓΑΙΟΣ ἥσθην χαροποῖσι πιθήκοις.
*I-was-pleased with-fierce-eyed apes*

ΙΕΡΟΚΛΗΣ καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,
*and gulls timid to-fox-cubs you-have-trusted*
ὧν δόλιαι ψυχαί, δόλιαι φρένες. ΤΡΙΓΑΙΟΣ εἴθε σου εἶναι
*whose guileful souls guileful minds would-that of-you to-be*
ὄφελεν ὧλαζὼν οὑτωσὶ θερμὸς ὁ πλεύμων.
*ought O-impostor so hot the lung*

ΙΕΡΟΚΛΗΣ εἰ γὰρ μὴ νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
*if for not nymphs at-least goddesses Bacis deceived*
μηδὲ Βάκις θνητούς, μηδ' αὖ νύμφαι Βάκιν αὐτὸν —
*nor Bacis mortals nor in-turn nymphs Bacis himself*
ΤΡΙΓΑΙΟΣ ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων.
*utterly-destroyed may-you-perish if not you-stop Bacizing*
ΙΕΡΟΚΛΗΣ οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ'
*not-yet decreed was of-Peace bonds*
ἀναλῦσαι, ἀλλὰ τόδε πρότερον —
*to-loose but this first*
ΤΡΙΓΑΙΟΣ τοῖσδ' ἁλσί γε παστέα ταυτί.
*with-these salts at-least must-be-sprinkled these-here*

ΙΕΡΟΚΛΗΣ οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
*not for yet this is dear to-blessed gods*
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
*from-battle-din to-cease before — wolf sheep weds*
ΤΡΙΓΑΙΟΣ καὶ πῶς ὦ κατάρατε λύκος ποτ' ἂν οἶν ὑμεναιοῖ;
*and how O accursed wolf ever — sheep would-wed*
ΙΕΡΟΚΛΗΣ ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
*as-long-as the beetle fleeing most-wicked farts*
†χὴ κώδων† ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει,
*and-the bell finch hurrying blind bears*
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
*then not-yet ought the peace to-have-been-made*

ΤΡΥΓΑΙΟΣ ἀλλὰ τί χρῆν ἡμᾶς; οὐ παύσασθαι πολεμοῦντας,
*but what ought we not to-stop warring*
ἢ διακαυνιάσαι πότεροι κλαυσούμεθα μεῖζον,
*or to-draw-lots which-of-us shall-weep more*
ἐξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
*it-being-possible having-made-truce in-common — of-Greece to-rule*
ΙΕΡΟΚΛΗΣ οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.
*never will-you-make the crab straight to-walk*
ΤΡΥΓΑΙΟΣ οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ ’ν πρυτανείῳ,
*never will-you-dine still in-the future in prytaneum*
οὐδ’ ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.
*nor upon the deed-done will-you-do afterward anything*
ΙΕΡΟΚΛΗΣ οὐδέποτ’ ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον.
*never — could-you-make smooth the rough hedgehog*
ΤΡΥΓΑΙΟΣ ἆρα φενακίζων ποτ’ Ἀθηναίους ἔτι παύσει;
*— cheating ever Athenians still will-you-stop*
ΙΕΡΟΚΛΗΣ ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
*what for according-to oracle did-you-burn thighs to-the-gods*
ΤΡΥΓΑΙΟΣ ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος·
*which most-fine surely has-made Homer*
“ὣς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο
*so they indeed cloud hateful having-thrust-away of-war*
Εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ’ ἱερείῳ.
*Peace chose and established with-victim*
αὐτὰρ ἐπεὶ κατὰ μῆρ’ ἐκάη καὶ σπλάγχν’ ἐπάσαντο,
*but when down thighs were-burned and innards they-tasted*
ἔσπενδον δεπάεσσιν· ἐγὼ δ’ ὁδὸν ἡγεμόνευον·”
*they-poured-libation from-cups I and way led*
χρησμολόγῳ δ’ οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
*to-oracle-monger but no-one gave cup bright*

ΙΕΡΟΚΛΗΣ οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
*not I-share in-these not for these said Sibyl*

ΤΡΙΓΑΙΟΣ ἀλλ' ὁ σοφός τοι νὴ Δί' Ὅμηρος δεξιὸν εἶπεν·
*but the wise surely by Zeus Homer cleverly said*

"ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος,
*clanless lawless heartless is that-man*

ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος."
*who war loves civil chilling*

ΙΕΡΟΚΛΗΣ φράζεο δὴ μή πώς σε δόλῳ φρένας ἐξαπατήσας
*take-heed indeed lest somehow you by-guile minds having-deceived*

ἰκτῖνος μάρψῃ. ΤΡΙΓΑΙΟΣ τουτὶ μέντοι σὺ φυλάττου,
*kite seize this-here however you guard-against*

ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
*since this fearful for-the innards is the oracle*

ἔγχει δὴ σπονδὴν καὶ τῶν σπλάγχνων φέρε δευρί.
*pour indeed libation and of-the innards bring here*

ΙΕΡΟΚΛΗΣ ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
*but if these seem-good I-too for-myself will-be-bath-man*

ΤΡΙΓΑΙΟΣ σπονδὴ σπονδή.
*libation libation*

ΙΕΡΟΚΛΗΣ ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
*pour indeed and-for-me and of-innards portion stretch-out*

ΤΡΙΓΑΙΟΣ ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν·
*but not-yet this is dear to-blessed gods*

ἀλλὰ τόδε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελθεῖν.
*but this first to-pour-libation us you and to-go-away*

ὦ πότνι' Εἰρήνη παράμεινον τὸν βίον ἡμῖν.
*O lady Peace remain-with the life with-us*

ΙΕΡΟΚΛΗΣ πρόσφερε τὴν γλῶτταν.
*bring-forward the tongue*

ΤΡΥΓΑΙΟΣ σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε.
*you and the your-own at-least take-away*

ΙΕΡΟΚΛΗΣ σπονδή. ΤΡΥΓΑΙΟΣ καὶ ταυτὶ 1110
*libation and these-here*

μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
*with the libation take quicker*

ΙΕΡΟΚΛΗΣ οὐδεὶς προσδώσει τῶν σπλάγχνων;
*no-one will-give-besides of-the innards*

ΤΡΥΓΑΙΟΣ οὐ γὰρ οἷόν τε
*not for possible —*

ἡμῖν προσδιδόναι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
*to-us to-give-besides before — wolf sheep weds*

ΙΕΡΟΚΛΗΣ ναὶ πρὸς τῶν γονάτων.
*yes by the knees*

ΤΡΥΓΑΙΟΣ ἄλλως ὦ τᾶν ἱκετεύεις·
*idly O my-friend you-supplicate*

οὐ γὰρ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον.
*not for you-will-make smooth the rough hedgehog*

ἄγε δὴ θεαταὶ δεῦρο συσπλαγχνεύετε 1115
*come now spectators here share-the-innards*

μετὰ νῷν. ΙΕΡΟΚΛΗΣ τί δὴ 'γώ; ΤΡΥΓΑΙΟΣ τὴν Σίβυλλαν ἔσθιε.
*with us-two what indeed I — Sibyl eat*

ΙΕΡΟΚΛΗΣ οὔτοι μὰ τὴν γῆν ταῦτα κατέδεσθον μόνω,
*surely-not by the earth these you-two-will-eat-up alone*

ἀλλ' ἁρπάσομαι σφῷν αὐτά· κεῖται δ' ἐν μέσῳ.
*but I-will-snatch from-you-two them they-lie and in middle*

ΤΡΥΓΑΙΟΣ ὦ παῖε τὸν Βάκιν. ΙΕΡΟΚΛΗΣ μαρτύρομαι.
*O strike — Bacis I-call-to-witness*

ΤΡΙΓΑΙΟΣ κἄγωγ᾽ ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
*and-I that glutton are you and-impostor man*
παῖ᾽ αὐτὸν ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
*strike him laying-on with-the stick the impostor*
ΟΙΚΕΤΗΣ σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων,
*you indeed rather I and this-here of-the fleeces*
ἁλάμβαν᾽ αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
*which-he-got himself deceiving I-will-peel-out*
οὐ καταβαλεῖς τὰ κῴδι᾽ ὦ θυηπόλε;
*not will-you-put-down the fleeces O sacrificer*
ἤκουσας; ὁ κόραξ οἷος ἦλθ᾽ ἐξ Ὠρεοῦ.
*did-you-hear the raven what-sort came from Oreus*
οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον;
*not will-you-fly-off quicker to Elymnium*

## VIII · THE FARMER'S PLEASURES

*The chorus sings the joys of a winter day by the fire with friends and wine, of rain on the newly sown fields, and of the summer's grapes and figs. It prefers this to the sight of the taxiarch in his crimson cloak, who flees first in battle and strikes farmers' names from the rolls at whim.*

ΧΟΡΟΣ ἥδομαί γ᾽ ἥδομαι
*I-am-pleased at-least I-am-pleased*
κράνους ἀπηλλαγμένος
*from-helmet released*
τυροῦ τε καὶ κρομμύων.
*from-cheese and and onions*
οὐ γὰρ φιληδῶ μάχαις,
*not for I-delight-in battles*

ἀλλὰ πρὸς πῦρ διέλκων
*but by fire drinking-on*
μετ᾽ ἀνδρῶν ἑταίρων φίλων,
*with men comrades dear*
ἐκκέας τῶν ξύλων ἅττ᾽ ἂν ᾖ
*having-kindled of-the logs whatever — are*
δανότατα τοῦ θέρους
*driest of-the summer*
†ἐκπεπρισμένα†,
*sawn-out*
καὐθρακίζων τοὐρεβίνθου
*and-roasting of-the-chickpea*
τήν τε φηγὸν ἐμπυρεύων,
*the and acorn toasting*
χἅμα τὴν Θρᾷτταν κυνῶν
*and-at-the-same-time the Thracian-girl kissing*
τῆς γυναικὸς λουμένης.
*the wife bathing*
οὐ γὰρ ἔσθ᾽ ἥδιον ἢ τυχεῖν μὲν ἤδη ᾽σπαρμένα,
*not for is sweeter than to-happen indeed already sown*
τὸν θεὸν δ᾽ ἐπιψακάζειν, καὶ τιν᾽ εἰπεῖν γείτονα,
*the god and to-drizzle-on and some to-say neighbor*
εἰπέ μοι τί τηνικαῦτα δρῶμεν ὦ Κωμαρχίδη;
*tell me what then shall-we-do O Comarchides*
ἐμπιεῖν ἔμοιγ᾽ ἀρέσκει τοῦ θεοῦ δρῶντος καλῶς.
*to-drink to-me-at-least it-pleases the god doing well*
ἀλλ᾽ ἄφευε τῶν φασήλων ὦ γύναι τρεῖς χοίνικας,
*but roast of-the kidney-beans O wife three quarts*
τῶν τε πυρῶν μεῖξον αὐτοῖς, τῶν τε σύκων ἔξελε,
*of-the and wheat mix with-them of-the and figs take-out*

τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω ’κ τοῦ χωρίου.
*the and Manes the Syra let-her-shout from the farm*
οὐ γὰρ οἷόν τ’ ἐστὶ πάντως οἰναρίζειν τήμερον
*not for possible — is at-all to-strip-vine-leaves today*
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον.
*nor to-dig-in-mud since soaked the land*
κἀξ ἐμοῦ δ’ ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω·
*and-from me and let-bring someone the thrush and the two-finches*
ἦν δὲ καὶ πυός τις ἔνδον καὶ λαγῷα τέτταρα,
*was and also beestings some inside and hare-meats four*
εἴ τι μὴ ’ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
*if any not carried-off of-them the weasel at-the evening*
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ’ ἄττα κἀκυδοιδόπα·
*was-rattling at-least inside not I-know what and-was-clattering*
ὧν ἔνεγκ’ ὦ παῖ τρί’ ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
*of-which bring O boy three to-us one and to-give to-the father*
μυρρίνας τ’ αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
*myrtles and ask from Aeschinades of-the fruitful*
χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
*and-at-the-same-time on-the same way Charinades someone let-him-shout*
ὡς ἂν ἐμπίῃ μεθ’ ἡμῶν,
*so-that — he-may-drink with us*
εὖ ποιοῦντος κὠφελοῦντος
*well doing and-helping*
τοῦ θεοῦ τἀρώματα.
*the god the-crops*
ἡνίκ’ ἂν δ’ ἀχέτας
*when — and cicada*
ᾄδῃ τὸν ἡδὺν νόμον,
*sings the sweet tune*

διασκοπῶν ἥδομαι
*watching I-am-pleased*
τὰς Λημνίας ἀμπέλους,
*the Lemnian vines*
εἰ πεπαίνουσιν ἤ-
*whether they-are-ripening already*
δη τὸ γὰρ φῖτυ πρῷον φύσει,
*— the for plant early by-nature*
τόν τε φήληχ' ὁρῶν οἰδάνοντ'·
*the and wild-fig seeing swelling*
εἶθ' ὁπόταν ᾖ πέπων,
*then whenever it-is ripe*
ἐσθίω κἀπέχω
*I-eat and-hold-off*
χἅμα φήμ', "ὧραι φίλαι·" καὶ
*and-at-the-same-time say seasons dear and*
τοῦ θύμου τρίβων κυκῶμαι·
*of-the thyme pounding I-mix-a-posset*
κᾆτα γίγνομαι παχὺς
*and-then I-become fat*
τηνικαῦτα τοῦ θέρους
*then of-the summer*
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων
*rather than to-the-gods hateful taxiarch looking*
τρεῖς λόφους ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
*three crests having and crimson-cloak bright very*
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·
*which he says to-be dye Sardian*
ἢν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδα,
*if and anywhere it-be-necessary to-fight having the crimson-cloak*

τηνικαῦτ᾽ αὐτὸς βέβαπται βάμμα Κυζικηνικόν·
*then himself is-dyed dye Cyzicene*
κᾆτα φεύγει πρῶτος ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν
*and-then flees first like tawny horse-cock*
τοὺς λόφους σείων· ἐγὼ δ᾽ ἕστηκα †λινοπτώμενος.†
*the crests shaking I and stand flax-net-watching*
ἡνίκ᾽ ἂν δ᾽ οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετά,
*when — and at-home they-are they-do not bearable*
τοὺς μὲν ἐγγράφοντες ἡμῶν τοὺς δ᾽ ἄνω τε καὶ κάτω
*the indeed enrolling of-us the and up both and down*
ἐξαλείφοντες δὶς ἢ τρίς. αὔριον δ᾽ ἔσθ᾽ ἡ ᾽ξοδος·
*erasing twice or thrice tomorrow and is the march-out*
τῷ δὲ σιτί᾽ οὐκ ἐώνητ᾽· οὐ γὰρ ᾔδειν ἐξιών·
*by-him and rations not had-bought not for he-knew going-out*
εἶτα προστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδίονος
*then standing-by at the statue the of-Pandion*
εἶδεν αὑτόν, κἀπορῶν θεῖ τῷ κακῷ βλέπων ὀπόν.
*saw himself and-at-a-loss runs at-the evil looking sour*
ταῦτα δ᾽ ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ᾽ ἐξ ἄστεως
*these and us the countrymen they-do the and from town*
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες.
*less the to-gods these and-to-men shield-throwers*
ὧν ἔτ᾽ εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.
*of-whom still accounts to-me they-will-render if god wills*
πολλὰ γὰρ δή μ᾽ ἠδίκησαν,
*much for indeed me they-wronged*
ὄντες οἴκοι μὲν λέοντες
*being at-home indeed lions*
ἐν μάχῃ δ᾽ ἀλώπεκες.
*in battle and foxes*

*At the wedding feast a sickle-maker and a cask-maker bring gifts in thanks for peace, while a crest-maker, a breastplate-seller, a trumpet-seller, a helmet-maker, and a spear-maker come in ruined, and Trygaeus offers them uses for their wares as chamber pots and vine props. Lamachus' son sings Homer's battles and is sent away; the son of Cleonymus sings the verses on throwing away a shield and is let in.*

ΤΡΥΓΑΙΟΣ ἰοὺ ἰού.
*oh oh*

ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.
*how-great the thing to dinner came to the wedding*

ἔχ' ἀποκάθαιρε τὰς τραπέζας ταυτηί·
*here wipe the tables with-this-here*

πάντως γὰρ οὐδὲν ὄφελός ἐστ' αὐτῆς ἔτι.
*in-any-case for no use is of-it still*

ἔπειτ' ἐπιφόρει τοὺς ἀμύλους καὶ τὰς κίχλας
*then bring-on the cakes and the thrushes*

καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺς κολλάβους.
*and of-the hare-meats many and the rolls*

ΔΡΕΠΑΝΟΤΡΓΟΣ ποῦ ποῦ Τρυγαιός ἐστιν;
*where where Trygaeus is*

ΤΡΥΓΑΙΟΣ ἀναβράττω κίχλας.
*I-am-boiling thrushes*

ΔΡΕΠΑΝΟΤΡΓΟΣ ὦ φίλτατ' ὦ Τρυγαῖ' ὅσ' ἡμᾶς τἀγαθὰ
*O dearest O Trygaeus how-many us the-goods*

δέδρακας εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
*you-have-done peace having-made since before this*

οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
*no-one would-have-bought — sickle nor for-a-penny*

νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·
*now and for-fifty drachmas I-sell*

ὁδὶ δὲ τριδράχμους τοὺς κάδους ἐς τοὺς ἀγρούς.
*this-man and three-drachma the casks for the fields*

ἀλλ' ὦ Τρυγαῖε τῶν δρεπάνων τε λάμβανε
*but O Trygaeus of-the sickles both take*

καὶ τῶνδ' ὅ τι βούλει προῖκα· καὶ ταυτὶ δέχου·
*and of-these what thing you-wish gratis and these-here accept*

ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδήναμεν
*from what for we-sold and-made-profit*

τὰ δῶρα ταυτί σοι φέρομεν ἐς τοὺς γάμους.
*the gifts these-here to-you we-bring for the wedding*

ΤΡΥΓΑΙΟΣ ἴθι νυν καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
*come now having-laid-down by me these go-in*

ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
*to dinner as quickly-as-possible and for this-here*

ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.
*of-arms dealer vexed approaches*

ΛΟΦΟΠΟΙΟΣ οἴμ' ὡς προθέλυμνόν μ' ὦ Τρυγαῖ' ἀπώλεσας.
*ah-me how root-and-branch me O Trygaeus you-ruined*

ΤΡΥΓΑΙΟΣ τί δ' ἔστιν ὦ κακόδαιμον; οὔτι που λοφᾷς;
*what and is-it O ill-starred not-at-all surely you-have-crest-fever*

ΛΟΦΟΠΟΙΟΣ ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
*you-ruined my the trade and the livelihood*

καὶ τουτουὶ καὶ τοῦ δορυξοῦ 'κεινονί.
*and of-this-here and of-the spear-maker that-one-there*

ΤΡΥΓΑΙΟΣ τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;
*what then for-these-here shall-I-pay you for-the two-crests*

ΛΟΦΟΠΟΙΟΣ αὐτὸς σὺ τί δίδως;
*yourself you what do-you-give*
ΤΡΥΓΑΙΟΣ ὅ τι δίδωμ᾽; αἰσχύνομαι.
*what thing I-give I-am-ashamed*
ὅμως δ᾽ ὅτι τὸ σφήκωμ᾽ ἔχει πόνον πολύν,
*nevertheless and since the binding has toil much*
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας.
*I-would-give — for-them of-dried-figs three quarts*
ἵν᾽ ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί.
*so-that I-may-wipe the table with-this-here*
ΛΟΦΟΠΟΙΟΣ ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας·
*bring well-then going-in the figs*
κρεῖττον γὰρ ὦ τᾶν ἐστιν ἢ μηδὲν λαβεῖν.
*better for O my-friend it-is than nothing to-take*
ΤΡΥΓΑΙΟΣ ἀπόφερ᾽ ἀπόφερ᾽ ἐς κόρακας ἀπὸ τῆς οἰκίας.
*take-away take-away to crows from the house*
τριχορρυεῖτον, οὐδέν ἐστον τὼ λόφω.
*they-shed-hair nothing they-are the two-crests*
οὐκ ἂν πριαίμην οὐδ᾽ ἂν ἰσχάδος μιᾶς.
*not — I-would-buy-them not-even — for-fig one*
ΘΩΡΑΚΟΠΩΛΗΣ τί δαὶ δεκάμνῳ τῷδε θώρηκος κύτει
*what then with-ten-mina this of-breastplate hollow*
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;
*fitted most-finely shall-I-do wretched*
ΤΡΥΓΑΙΟΣ οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν.
*this indeed not not to-you will-make loss*
ἀλλ᾽ αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας·
*but sell me this at-least at-the cost*
ἐναποπατεῖν γάρ ἐστ᾽ ἐπιτήδειος πάνυ —
*to-shit-in for it-is suitable very*

ΘΩΡΑΚΟΠΩΛΗΣ παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασιν.
*stop me insulting with-the my goods*

ΤΡΙΓΑΙΟΣ ὠδὶ παραθέντι τρεῖς λίθους. οὐ δεξιῶς;
*so setting-beside three stones not cleverly*

ΘΩΡΑΚΟΠΩΛΗΣ ποίᾳ δ' ἀποψήσει ποτ' ὦμαθέστατε;
*with-what and will-you-wipe ever O-most-stupid*

ΤΡΙΓΑΙΟΣ τηδὶ διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς
*this-way letting-through the hand through the oarport*

καὶ τῇδ'. ΘΩΡΑΚΟΠΩΛΗΣ ἅμ' ἀμφοῖν δῆτ';
*and this-way at-the-same-time with-both then*

ΤΡΙΓΑΙΟΣ ἔγωγε νὴ Δία,
*I-at-least by Zeus*

ἵνα μή γ' ἁλῶ τρύπημα κλέπτων τῆς νεώς.
*so-that not at-least I-be-caught hole stealing of-the ship*

ΘΩΡΑΚΟΠΩΛΗΣ ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;
*then on ten-mina you-will-shit sitting*

ΤΡΙΓΑΙΟΣ ἔγωγε νὴ Δί' ὦπίτριπτ'. οἴει γὰρ ἂν
*I-at-least by Zeus O-damned do-you-think for —*

τὸν πρωκτὸν ἀποδόσθαι με χιλιῶν δραχμῶν;
*the ass to-sell me for-thousand drachmas*

ΘΩΡΑΚΟΠΩΛΗΣ ἴθι δὴ 'ξένεγκε τἀργύριον. ΤΡΙΓΑΙΟΣ ἀλλ' ὦγαθὲ
*come now bring-out the-money but good-sir*

θλίβει τὸν ὄρρον. ἀπόφερ', οὐκ ὠνήσομαι.
*it-pinches the rump take-away not I-will-buy*

ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ τί δ' ἆρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
*what and then with-the trumpet this shall-I-do*

ἣν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;
*which I-bought for-drachmas once sixty I*

ΤΡΥΓΑΙΟΣ μόλυβδον ἐς τουτὶ τὸ κοῖλον ἐγχέας
*lead into this-here the hollow having-poured*
ἔπειτ᾽ ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
*then from-above rod putting-in longish*
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.
*it-will-become for-you of-the let-down cottabus-stands*
ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ οἴμοι καταγελᾷς. ΤΡΥΓΑΙΟΣ ἀλλ᾽ ἕτερον παραινέσω. 1245
*ah-me you-mock but another I-will-advise*
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον,
*the indeed lead as I-said pour-in*
ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
*from-here and by-cords hung*
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
*scale-pan add and-it for-you will-become*
τὰ σῦκ᾽ ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.
*the figs in field for-the servants to-weigh*
ΚΡΑΝΟΠΟΙΟΣ ὦ δυσκάθαρτε δαῖμον ὥς μ᾽ ἀπώλεσας, 1250
*O implacable god how me you-ruined*
ὅτ᾽ ἀντέδωκά γ᾽ ἀντὶ τῶνδε μνᾶν ποτέ·
*when I-gave-in-exchange at-least for these mina once*
καὶ νῦν τί δράσω; τίς γὰρ αὖτ᾽ ὠνήσεται;
*and now what shall-I-do who for them will-buy*
ΤΡΥΓΑΙΟΣ πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·
*sell going them to-the Egyptians*
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.
*they-are for suitable purge to-measure*
ΔΟΡΥΞΟΣ οἴμ᾽ ὦ κρανοποιὸ᾽ ὡς ἀθλίως πεπράγαμεν. 1255
*ah-me O helmet-maker how wretchedly we-have-fared*

ΤΡΙΓΑΙΟΣ οὗτος μὲν οὐ πέπονθεν οὐδέν. ΔΟΡΥΞΟΣ ἀλλὰ τί
*this-man indeed not has-suffered anything but what*
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;
*still is for-the helmets what thing anyone will-do*
ΤΡΙΓΑΙΟΣ ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
*if such-here he-learns handles to-make*
ἄμεινον ἢ νῦν αὖτ' ἀποδώσεται πολύ.
*better than now them he-will-sell by-far*
ΚΡΑΝΟΠΟΙΟΣ ἀπίωμεν ὦ δορυξέ. ΤΡΙΓΑΙΟΣ μηδαμῶς γ', ἐπεὶ
*let-us-go-away O spear-maker by-no-means at-least since*
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.
*from-this-man at-least I the spears these will-buy*
ΔΟΡΥΞΟΣ πόσου δίδως δῆτ'; ΤΡΙΓΑΙΟΣ εἰ διαπρισθεῖεν δίχα,
*how-much do-you-give then if they-were-sawn in-two*
λάβοιμ' ἂν αὖτ' ἐς χάρακας ἑκατὸν τῆς δραχμῆς.
*I-would-take — them for vine-props hundred for-the drachma*
ΔΟΡΥΞΟΣ ὑβριζόμεθα. χωρῶμεν ὦ τᾶν ἐκποδών.
*we-are-insulted let-us-go O my-friend out-of-the-way*
ΤΡΙΓΑΙΟΣ νὴ τὸν Δί', ὡς τὰ παιδί' ἤδη 'ξέρχεται
*by — Zeus since the children already come-out*
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
*to-piss the of-the guests here so-that*
ἄττ' ᾄσεται προαναβάληταί μοι δοκεῖ.
*whatever they-will-sing they-may-prelude to-me it-seems*
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς ὦ παιδίον,
*but what thing indeed to-sing you-intend O little-boy*
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.
*there by me standing first prelude here*

ΠΑΙΣ νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα —
*now in-turn of-younger men let-us-begin*

ΤΡΥΓΑΙΟΣ παῦσαι
*stop*

ὁπλοτέρους ᾄδον, καὶ ταῦτ' ὦ τρισκακόδαιμον
*younger singing and that O thrice-ill-starred*

εἰρήνης οὔσης· ἀμαθές γ' εἶ καὶ κατάρατον.
*peace being stupid at-least you-are and accursed*

ΠΑΙΣ οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
*they and when indeed near were on one-another going*

σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.
*together then they-threw ox-hides both and shields bossed*

ΤΡΥΓΑΙΟΣ ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδος ἡμῖν;
*shields not will-you-stop remembering shield to-us*

ΠΑΙΣ ἔνθα δ' ἄμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.
*there and at-once groaning both and boasting was of-men*

ΤΡΥΓΑΙΟΣ ἀνδρῶν οἰμωγή; κλαύσει νὴ τὸν Διόνυσον
*of-men groaning you-will-weep by — Dionysus*

οἰμωγὰς ᾄδων, καὶ ταύτας ὀμφαλοέσσας.
*groanings singing and these bossed*

ΠΑΙΣ ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι οἷστισι χαίρεις.
*but what then shall-I-sing you for tell me in-what-things you-rejoice*

ΤΡΥΓΑΙΟΣ ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί·
*so they indeed feasted of-oxen flesh and the such-here*

ἄριστον προτίθεντο καὶ ἄτθ' ἥδιστα πάσασθαι.
*breakfast they-set-out and what sweetest to-taste*

ΠΑΙΣ ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
*so they indeed feasted of-oxen flesh and-necks of-horses*

ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
*they-loosed sweating since of-war they-were-sated*

ΤΡΥΓΑΙΟΣ εἶεν; ἐκόρεσθεν τοῦ πολέμου κᾆτ' ἤσθιον.
*well they-were-sated of-the war and-then they-ate*
ταῦτ' ᾄδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.
*these sing these how they-ate sated*
ΠΑΙΣ θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι —
*they-armed then afterward having-ceased*
ΤΡΥΓΑΙΟΣ ἄσμενοι, οἶμαι.
*glad I-think*
ΠΑΙΣ πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
*from-towers and they-poured-out shout and unquenchable arose*
ΤΡΥΓΑΙΟΣ κάκιστ' ἀπόλοιο παιδάριον αὐταῖς μάχαις·
*most-vilely may-you-perish little-boy with-the-very battles*
οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;
*nothing for you-sing except wars whose even ever are-you*
ΠΑΙΣ ἐγώ; ΤΡΥΓΑΙΟΣ σὺ μέντοι νὴ Δί'. ΠΑΙΣ υἱὸς Λαμάχου.
*I you however by Zeus son of-Lamachus*
ΤΡΥΓΑΙΟΣ αἰβοῖ·
*ugh*
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης
*truly for I was-wondering hearing if you not were*
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
*of-man battle-wanting and battle-weeping some son*
ἄπερρε καὶ τοῖς λογχοφόροισιν ᾄδ' ἰών.
*be-off and to-the spear-bearers sing going*
ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;
*where to-me the — of-Cleonymus is child*
ᾆσον πρὶν εἰσιέναι τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
*sing before going-in something you for well I-know that*
οὐ πράγματ' ᾄσει· σώφρονος γὰρ εἶ πατρός.
*not troubles you-will-sing of-a-sober for you-are father*

ΠΑΙΣ ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
*in-shield indeed of-Saians someone delights which by bush*
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
*weapon blameless I-left not willing*
ΤΡΥΓΑΙΟΣ εἰπέ μοι ὦ πόσθων, ἐς τὸν σαυτοῦ πατέρ᾽ ᾄδεις; 1300
*tell me O little-cock to the your-own father do-you-sing*
ΠΑΙΣ ψυχὴν δ᾽ ἐξεσάωσα — ΤΡΥΓΑΙΟΣ κατῄσχυνας δὲ τοκῆας.
*life and I-saved you-shamed and parents*
ἀλλ᾽ εἰσίωμεν. εὖ γὰρ οἶδ᾽ ἐγὼ σαφῶς
*but let-us-go-in well for I-know I clearly*
ὅτι ταῦθ᾽ ὅσ᾽ ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος
*that these as-much-as you-sang just-now about the shield*
οὐ μὴ ᾽πιλάθῃ ποτ᾽ ὢν ἐκείνου τοῦ πατρός.
*not not you-will-forget ever being of-that the father*

## X · THE WEDDING SONG

*Trygaeus bids the chorus eat their fill, and they bring out the bride Harvest with torches. They pray for wealth, barley, wine, and children, sing the wedding hymn, and carry the bridegroom off to the country, where the couple will live gathering figs.*

ΤΡΥΓΑΙΟΣ ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη ᾽νταῦθα τῶν μενόντων 1305
*your the remaining work now here of-the staying*
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν, καὶ μὴ κενὰς παρέλκειν.
*to-crush these all and to-grind and not empty to-row-alongside*
ἀλλ᾽ ἀνδρικῶς ἐμβάλλετε
*but manfully fall-to*
καὶ σμώχετ᾽ ἀμφοῖν τοῖν γνάθοιν· οὐδὲν γὰρ ὦ πόνηροι
*and chew with-both the jaws nothing for O wretches*

λευκῶν ὀδόντων ἔργον ἐστ', ἢν μή τι καὶ μασῶνται.
*of-white teeth work is if not something also they-chew*

ΧΟΡΟΣ ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.
*to-us will-be-a-care these at-least well you-do and also you telling*

ΤΡΙΓΑΙΟΣ ἀλλ' ὦ πρὸ τοῦ πεινῶντες ἐμβάλλεσθε τῶν λαγῴων·
*but O before this starving fall-upon of-the hare-meats*

ὡς οὐχὶ πᾶσαν ἡμέραν
*since not every day*

πλακοῦσιν ἔστιν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
*flat-cakes it-is to-come-upon wandering deserted*

πρὸς ταῦτα βρύκετ' ἢ τάχ' ἡμῖν φημι μεταμελήσειν.
*to this munch or soon for-us I-say to-repent*

ΧΟΡΟΣ εὐφημεῖν χρὴ καὶ τὴν νύμφην
*to-speak-well one-must and the bride*

ἔξω τινὰ δεῦρο κομίζειν
*outside someone here to-bring*

δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν συγχαίρειν κἀπιχορεύειν.
*torches and to-carry and all people to-rejoice-together and-dance-along*

καὶ τὰ σκεύη πάλιν ἐς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
*and the gear back to the field now one-must all to-bring*

ὀρχησαμένους καὶ σπείσαντας
*having-danced and having-poured-libation*

καὶ Ὑπέρβολον ἐξελάσαντας,
*and Hyperbolus having-driven-out*

κἀπευξαμένους τοῖσι θεοῖσιν
*and-having-prayed to-the gods*

διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
*to-give wealth to-the Greeks*

κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
*barley and to-make us much*

πάντας ὁμοίως οἶνόν τε πολύν,
*all alike wine and much*
σῦκά τε τρώγειν,
*figs and to-munch*
τάς τε γυναῖκας τίκτειν ἡμῖν,
*the and wives to-bear for-us*
καὶ τἀγαθὰ πάνθ' ὅσ' ἀπωλέσαμεν
*and the-goods all as-many-as we-lost*
συλλέξασθαι πάλιν ἐξ ἀρχῆς,
*to-gather back from beginning*
λῆξαί τ' αἴθωνα σίδηρον.
*to-cease and blazing iron*
ΤΡΥΓΑΙΟΣ δεῦρ' ὦ γύναι εἰς ἀγρόν,
*here O wife to field*
χὤπως μετ' ἐμοῦ καλὴ
*and-see-that with me fair*
καλῶς κατακείσει.
*fairly you-will-lie*
Ὑμὴν Ὑμέναι' ὦ.
*Hymen Hymenaeus O*
ΗΜΙΧΟΡΙΟΝ Β′ ὦ τρὶς μάκαρ ὡς δικαίως
*O thrice blessed how justly*
τἀγαθὰ νῦν ἔχεις.
*the-goods now you-have*
ΗΜΙΧΟΡΙΟΝ Α′ Ὑμὴν Ὑμέναι' ὦ.
*Hymen Hymenaeus O*
ΗΜΙΧΟΡΙΟΝ Β′ Ὑμὴν Ὑμέναι' ὦ.
*Hymen Hymenaeus O*
ΗΜΙΧΟΡΙΟΝ Α′ τί δράσομεν αὐτήν;
*what shall-we-do her*

ΗΜΙΧΟΡΙΟΝ Β′ τί δράσομεν αὐτήν;
*what shall-we-do her*

ΗΜΙΧΟΡΙΟΝ Α′ τρυγήσομεν αὐτήν,
*we-will-harvest her*

ΗΜΙΧΟΡΙΟΝ Β′ τρυγήσομεν αὐτήν.
*we-will-harvest her*

ΗΜΙΧΟΡΙΟΝ Α′ ἀλλ' ἀράμενοι φέρωμεν
*but having-lifted let-us-carry*

οἱ προτεταγμένοι
*the stationed-in-front*

τὸν νυμφίον ὦνδρες.
*the bridegroom O-men*

ΗΜΙΧΟΡΙΟΝ Β′ Ὑμὴν Ὑμέναι' ὦ,
*Hymen Hymenaeus O*

Ὑμὴν Ὑμέναι' ὦ,
*Hymen Hymenaeus O*

ΤΡΙΤΑΙΟΣ οἰκήσετε γοῦν καλῶς
*you-will-dwell at-least well*

οὐ πράγματ' ἔχοντες, ἀλλὰ
*not troubles having but*

συκολογοῦντες.
*gathering-figs*

ΗΜΙΧΟΡΙΟΝ Β′ Ὑμὴν Ὑμέναι' ὦ,
*Hymen Hymenaeus O*

ΗΜΙΧΟΡΙΟΝ Α′ Ὑμὴν Ὑμέναι' ὦ.
*Hymen Hymenaeus O*

ΗΜΙΧΟΡΙΟΝ Β′ τοῦ μὲν μέγα καὶ παχύ.
*of-him indeed great and thick*

ΗΜΙΧΟΡΙΟΝ Α′ τῆς δ' ἡδὺ τὸ σῦκον.
*of-her and sweet the fig*

ΤΡΥΓΑΙΟΣ φήσεις γ᾽ ὅταν ἐσθίῃς
*you-will-say at-least when you-eat*
οἰνόν τε πίῃς πολύν.
*wine and you-drink much*
ΧΟΡΟΣ Ὑμὴν Ὑμέναι᾽ ὦ,
*Hymen Hymenaeus O*
Ὑμὴν Ὑμέναι᾽ ὦ.
*Hymen Hymenaeus O*
ΤΡΥΓΑΙΟΣ ὦ χαίρετε χαίρετ᾽ ἄνδρες, 1355
*O farewell farewell men*
κἂν ξυνέπησθέ μοι
*and-if you-follow me*
πλακοῦντας ἔδεσθε.
*flat-cakes you-will-eat*

ARISTOPHANES

# ΛΥΣΙΣΤΡΑΤΗ

*Lysistrata*

*Lysistrata has summoned the women of Greece, but they are late. When Calonice, Myrrhine, the Spartan Lampito, and women from Boeotia and Corinth arrive, Lysistrata proposes that they abstain from sex until the men make peace. They balk, then agree, and swear over a cup of wine to refuse their husbands. At a shout she tells them the older women have seized the Acropolis, and while Lampito goes home, the rest go in to bar the gates.*

ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ᾽ εἴ τις ἐς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
*but if anyone to Bacchic-rite them had-called*
ἢ ᾽ς Πανὸς ἢ ᾽πὶ Κωλιάδ᾽ ἢ ᾽ς Γενετυλλίδος,
*or to of-Pan or to Colias or to of-Genetyllis*
οὐδ᾽ ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
*not-even — to-get-through would-it-be — because-of the drums*
νῦν δ᾽ οὐδεμία πάρεστιν ἐνταυθοῖ γυνή·
*now and not-one is-present here woman*
πλὴν ἥ γ᾽ ἐμὴ κωμῆτις ἥδ᾽ ἐξέρχεται. 5
*except the at-least my villager this comes-out*
χαῖρ᾽ ὦ Καλονίκη. ΚΑΛΟΝΙΚΗ καὶ σύ γ᾽ ὦ Λυσιστράτη.
*hail O Calonice and you at-least O Lysistrata*
τί συντετάραξαι; μὴ σκυθρώπαζ᾽ ὦ τέκνον.
*why are-you-troubled not scowl O child*
οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.
*not for befits you to-bend-bows the brows*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ᾽ ὦ Καλονίκη κάομαι τὴν καρδίαν,
*but O Calonice I-burn the heart*
καὶ πόλλ᾽ ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι, 10
*and much for us the women I-am-grieved*
ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσιν νενομίσμεθα
*because among indeed the men we-are-thought*

εἶναι πανοῦργοι — ΚΑΛΟΝΙΚΗ καὶ γάρ ἐσμεν νὴ Δία.
*to-be villains and for we-are by Zeus*

ΛΥΣΙΣΤΡΑΤΗ εἰρημένον δ' αὐταῖς ἀπαντᾶν ἐνθάδε
*it-having-been-told and to-them to-meet here*

βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
*to-take-counsel not about trivial matter*

εὕδουσι κοὐχ ἥκουσιν. ΚΑΛΟΝΙΚΗ ἀλλ' ὦ φιλτάτη
*they-sleep and-not have-come but O dearest*

ἥξουσι· χαλεπή τοι γυναικῶν ἔξοδος.
*they-will-come difficult surely of-women going-out*

ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν,
*the-one indeed for of-us about the husband fussed*

ἡ δ' οἰκέτην ἤγειρεν, ἡ δὲ παιδίον
*the-other and servant woke the-other and child*

κατέκλινεν, ἡ δ' ἔλουσεν, ἡ δ' ἐψώμισεν.
*put-to-bed the-other and bathed the-other and fed*

ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' ἕτερά τἄρ' ἦν τῶνδε προὐργιαίτερα
*but other-things then were than-these more-pressing*

αὐταῖς. ΚΑΛΟΝΙΚΗ τί δ' ἐστὶν ὦ φίλη Λυσιστράτη,
*for-them what and is-it O dear Lysistrata*

ἐφ' ὅ τι ποθ' ἡμᾶς τὰς γυναῖκας συγκαλεῖς;
*for what thing ever us the women do-you-call-together*

τί τὸ πρᾶγμα; πηλίκον τι; ΛΥΣΙΣΤΡΑΤΗ μέγα.
*what the matter how-big something great*

ΚΑΛΟΝΙΚΗ μῶν καὶ παχύ;
*surely-not and thick*

ΛΥΣΙΣΤΡΑΤΗ καὶ νὴ Δία παχύ. ΚΑΛΟΝΙΚΗ κᾆτα πῶς οὐχ ἥκομεν;
*and by Zeus thick and-then how not have-we-come*

ΛΥΣΙΣΤΡΑΤΗ οὐχ οὗτος ὁ τρόπος·
*not this the way*
ταχὺ γὰρ ἂν ξυνήλθομεν.
*quickly for — we-would-have-come-together*
ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον
*but there-is by me matter searched-out*
πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.
*many and with-sleeplessnesses tossed-about*
ΚΑΛΟΝΙΚΗ ἦ πού τι λεπτόν ἐστι τοὐρριπτασμένον.
*truly perhaps something fine is the-tossed-about*
ΛΥΣΙΣΤΡΑΤΗ οὕτω γε λεπτὸν ὥσθ' ὅλης τῆς Ἑλλάδος
*so at-least fine that of-whole — Greece*
ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.
*in the women is the salvation*
ΚΑΛΟΝΙΚΗ ἐν ταῖς γυναιξίν; ἐπ' ὀλίγου γ' ὠχεῖτ' ἄρα.
*in the women on little at-least it-rode then*
ΛΥΣΙΣΤΡΑΤΗ ὡς ἔστ' ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα,
*since is in us of-the city the affairs*
ἢ μηκέτ' εἶναι μήτε Πελοποννησίους —
*or no-longer to-be neither Peloponnesians*
ΚΑΛΟΝΙΚΗ βέλτιστα τοίνυν μηκέτ' εἶναι νὴ Δία.
*best well-then no-longer to-be by Zeus*
ΛΥΣΙΣΤΡΑΤΗ Βοιωτίους τε πάντας ἐξολωλέναι.
*Boeotians and all to-have-perished*
ΚΑΛΟΝΙΚΗ μὴ δῆτα πάντας γ', ἀλλ' ἄφελε τὰς ἐγχέλεις.
*not then all at-least but take-out the eels*
ΛΥΣΙΣΤΡΑΤΗ περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
*about — Athens and not I-will-say-anything-ominous*
τοιοῦτον οὐδέν· ἀλλ' ὑπονόησον σύ μοι.
*such nothing but suppose you for-me*

ἢν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε
*if and come-together the women here*
αἵ τ' ἐκ Βοιωτῶν αἵ τε Πελοποννησίων
*those and from Boeotians those and of-Peloponnesians*
ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.
*we and in-common will-save — Greece*
ΚΑΛΟΝΙΚΗ τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο
*what and — women sensible could-accomplish*
ἢ λαμπρόν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
*or splendid who sit made-up*
κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι
*saffron-wearing and dolled-up*
καὶ Κιμμερίκ' ὀρθοστάδια καὶ περιβαρίδας;
*and Cimmerian straight-gowns and slippers*
ΛΥΣΙΣΤΡΑΤΗ ταῦτ' αὐτὰ γάρ τοι κἄσθ' ἃ σώσειν προσδοκῶ,
*these very for surely and-it-is which to-save I-expect*
τὰ κροκωτίδια καὶ τὰ μύρα χαὶ περιβαρίδες
*the little-saffron-gowns and the perfumes and-the slippers*
χἤγχουσα καὶ τὰ διαφανῆ χιτώνια.
*and-rouge and the see-through little-tunics*
ΚΑΛΟΝΙΚΗ τίνα δὴ τρόπον ποθ';
*what indeed way ever*
ΛΥΣΙΣΤΡΑΤΗ ὥστε τῶν νῦν μηδένα
*so-that of-the now none*
ἀνδρῶν ἐπ' ἀλλήλοισιν ἄρεσθαι δόρυ —
*of-men against one-another to-raise spear*
ΚΑΛΟΝΙΚΗ κροκωτὸν ἄρα νὴ τὼ θεὼ 'γὼ βάψομαι.
*saffron-gown then by the two-goddesses I will-dye*

ΛΥΣΙΣΤΡΑΤΗ μηδ' ἀσπίδα λαβεῖν —
*nor shield to-take*
ΚΑΛΟΝΙΚΗ Κιμμερικὸν ἐνδύσομαι.
*Cimmerian I-will-put-on*
ΛΥΣΙΣΤΡΑΤΗ μηδὲ ξιφίδιον. ΚΑΛΟΝΙΚΗ κτήσομαι περιβαρίδας.
*nor dagger I-will-acquire slippers*
ΛΥΣΙΣΤΡΑΤΗ ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν;
*— not to-be-present the women then ought*
ΚΑΛΟΝΙΚΗ οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι.
*not for by Zeus but flying to-have-come long-ago*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' ὦ μέλ' ὄψει τοι σφόδρ' αὐτὰς Ἀττικάς,
*but O friend you-will-see surely very them Attic*
ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.
*all doing than-the needful later*
ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα,
*but not-even of-Paralians not-one woman is-here*
οὐδ' ἐκ Σαλαμῖνος. ΚΑΛΟΝΙΚΗ ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι
*nor from Salamis but they at-least I-know that*
ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.
*on the boats have-crossed early*
ΛΥΣΙΣΤΡΑΤΗ οὐδ' ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ
*nor whom I-expected and-reckoned I*
πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων
*first to-be-present here the of-Acharnians*
γυναῖκας, οὐχ ἥκουσιν. ΚΑΛΟΝΙΚΗ ἡ γοῦν Θεογένους
*women not they-have-come the at-least of-Theogenes*
ὡς δεῦρ' ἰοῦσα θοὐκάταιον ἤρετο.
*as here coming the-Hecate asked*
ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες.
*but these and indeed to-you approach some*

αἱδί θ' ἕτεραι χωροῦσί τινες. ἰοὺ ἰού,
*these-here and others come some oh oh*
πόθεν εἰσίν; ΛΥΣΙΣΤΡΑΤΗ Ἀναγυρουντόθεν. ΚΑΛΟΝΙΚΗ νὴ τὸν Δία·
*whence are-they from-Anagyrus by — Zeus*
ὁ γοῦν ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.
*the at-least stinkwood to-me to-have-been-stirred seems*
ΜΥΡΡΙΝΗ μῶν ὕστεραι πάρεσμεν ὦ Λυσιστράτη;
*surely-not later are-we-present O Lysistrata*
τί φῄς; τί σιγᾷς; ΛΥΣΙΣΤΡΑΤΗ οὔ σ' ἐπαινῶ Μυρρίνη
*what do-you-say why are-you-silent not you I-praise Myrrhine*
ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.
*having-come just-now about such matter*
ΜΥΡΡΙΝΗ μόλις γὰρ ηὗρον ἐν σκότῳ τὸ ζώνιον.
*hardly for I-found in darkness the girdle*
ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.
*but if anything very is-needful to-the present-ones say*
ΛΥΣΙΣΤΡΑΤΗ μὰ Δῖ' ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' οὕνεκα
*by Zeus but let-us-wait little at-least for-the-sake*
τάς τ' ἐκ Βοιωτῶν τάς τε Πελοποννησίων
*the both from Boeotians the and of-Peloponnesians*
γυναῖκας ἐλθεῖν. ΜΥΡΡΙΝΗ πολὺ σὺ κάλλιον λέγεις.
*women to-come much you better say*
ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
*this-here and and indeed Lampito approaches*
ΛΥΣΙΣΤΡΑΤΗ ὦ φιλτάτη Λάκαινα χαῖρε Λαμπιτοῖ.
*O dearest Laconian hail Lampito*
οἷον τὸ κάλλος γλυκυτάτη σου φαίνεται.
*what the beauty sweetest of-you appears*
ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
*how and you-have-good-color how and swells the body your*

κἂν ταῦρον ἄγχοις.
*and-even bull you-could-strangle*

ΛΑΜΠΙΤΩ μάλα γ' οἰῶ ναὶ τὼ σιώ·
*very at-least I-think yes by-the two-gods*

γυμνάδδομαι γὰρ καὶ ποτὶ πυγὰν ἄλλομαι.
*I-exercise for and to buttocks I-leap*

ΚΑΛΟΝΙΚΗ ὡς δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις.
*how indeed fine the thing of-titties you-have*

ΛΑΜΠΙΤΩ ᾇπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε.
*like victim surely me you-feel-up*

ΛΥΣΙΣΤΡΑΤΗ ἡδὶ δὲ ποδαπή 'σθ' ἡ νεᾶνις ἠτέρα; 85
*this-here and of-what-country is the young-girl the-other*

ΛΑΜΠΙΤΩ πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία
*elder surely yes by-the two-gods Boeotian*

ἵκει ποθ' ὑμέ. ΜΥΡΡΙΝΗ νὴ μὰ Δία Βοιωτία,
*comes to you by — Zeus Boeotian*

καλόν γ' ἔχουσα τὸ πεδίον. ΚΑΛΟΝΙΚΗ καὶ νὴ Δία
*fine at-least having the plain and by Zeus*

κομψότατα τὴν βληχώ γε παρατετιλμένη.
*most-elegantly the pennyroyal at-least plucked*

ΛΥΣΙΣΤΡΑΤΗ τίς δ' ἠτέρα παῖς; ΛΑΜΠΙΤΩ χαΐα ναὶ τὼ σιώ, 90
*who and the-other girl noble yes by-the two-gods*

Κορινθία δ' αὖ. ΚΑΛΟΝΙΚΗ χαΐα νὴ τὸν Δία
*Corinthian and in-turn noble by — Zeus*

δήλη 'στὶν οὖσα ταυταγὶ τἀντευθενί.
*plain is being these-here the-parts-here*

ΛΑΜΠΙΤΩ τίς δ' αὖ ξυναλίαξε τόνδε τὸν στόλον
*who and in-turn collected this the expedition*
τὸν τᾶν γυναικῶν; ΛΥΣΙΣΤΡΑΤΗ ἥδ' ἐγώ. ΛΑΜΠΙΤΩ μύσιδδέ τοι
*the of-the women this I tell surely*
95 ὅ τι λῇς ποθ' ἁμέ. ΚΑΛΟΝΙΚΗ νὴ Δί' ὦ φίλη γύναι,
*what thing you-wish to us by Zeus O dear woman*
λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ' ἐστί σοι.
*tell then the serious-thing what thing this is to-you*
ΛΥΣΙΣΤΡΑΤΗ λέγοιμ' ἂν ἤδη. πρὶν λέγειν δ', ὑμᾶς τοδὶ
*I-would-tell — now before telling and you this-here*
ἐπερήσομαί τι μικρόν. ΚΑΛΟΝΙΚΗ ὅ τι βούλει γε σύ.
*I-will-ask something small what thing you-wish at-least you*
ΛΥΣΙΣΤΡΑΤΗ τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
*the fathers not do-you-miss the of-the children*
100 ἐπὶ στρατιᾶς ἀπόντας; εὖ γὰρ οἶδ' ὅτι
*on campaign being-away well for I-know that*
πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.
*to-all you is away-from-home husband*
ΚΑΛΟΝΙΚΗ ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας ὦ τάλαν
*the at-least my husband five months O wretched*
ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.
*is-away in Thrace guarding Eucrates*
ΜΥΡΡΙΝΗ ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
*the and mine at-least whole seven months in Pylos*
105 ΛΑΜΠΙΤΩ ὁ δ' ἐμός γα καἴ κ' ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκά,
*the and mine at-least and-if — from the ranks comes ever*
πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
*having-buckled-on-his-shield gone flying-off went*

ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ᾽ οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
*but not-even of-lover is-left spark*
ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι,
*since which for us betrayed Milesians*
οὐκ εἶδον οὐδ᾽ ὄλισβον ὀκτωδάκτυλον,
*not I-saw not-even dildo eight-finger*
ὃς ἦν ἂν ἡμῖν σκυτίνη ᾽πικουρία.
*which was — for-us leather help*
ἐθέλοιτ᾽ ἂν οὖν, εἰ μηχανὴν εὕροιμ᾽ ἐγώ,
*would-you-be-willing — then if device should-find I*
μετ᾽ ἐμοῦ καταλῦσαι τὸν πόλεμον; ΚΑΛΟΝΙΚΗ νὴ τὼ θεώ·
*with me to-end the war by the two-goddesses*
ἔγωγ᾽ ἂν οὖν κἂν εἴ με χρείη τοὔγκυκλον
*I-at-least — then even if me should-need the-cloak*
τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.
*this-here having-pawned to-drink-up the-same-day*
ΜΥΡΡΙΝΗ ἐγὼ δέ γ᾽ ἂν κἂν ὡσπερεὶ ψῆτταν δοκῶ
*I and at-least — even like flatfish I-think*
δοῦναι ἂν ἐμαυτῆς παρατεμοῦσα θἤμισυ.
*would-give — of-myself having-cut-off the-half*
ΛΑΜΠΙΤΩ ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετόν γ᾽ ἄνω
*I and even — to-the Taygetus at-least up*
ἔλσοιμ᾽ ὅπᾳ μέλλοιμί γ᾽ εἰράναν ἰδεῖν.
*would-go where I-should-be-about at-least peace to-see*
ΛΥΣΙΣΤΡΑΤΗ λέγοιμ᾽ ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
*I-would-tell — not must for to-be-hidden the word*
ἡμῖν γὰρ ὦ γυναῖκες, εἴπερ μέλλομεν
*for-us for O women if-indeed we-are-about*
ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
*to-compel the men peace to-keep*

ἀφεκτέ᾽ ἐστὶ — ΚΑΛΟΝΙΚΗ τοῦ; φράσον.
*we-must-abstain is from-what tell*

ΛΥΣΙΣΤΡΑΤΗ ποιήσετ᾽ οὖν;
*will-you-do-it then*

ΚΑΛΟΝΙΚΗ ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
*we-will-do-it even-if to-die us be-needful*

ΛΥΣΙΣΤΡΑΤΗ ἀφεκτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.
*we-must-abstain well-then is for-us from-the cock*

τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
*why from-me do-you-turn-away where do-you-go*

αὗται τί μοιμυᾶτε κἀνανεύετε;
*you why do-you-pout and-shake-your-heads*

τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
*why color is-changed why tear trickles-down*

ποιήσετ᾽ ἢ οὐ ποιήσετ᾽; ἢ τί μέλλετε;
*will-you-do-it or not will-you-do-it or what do-you-intend*

ΚΑΛΟΝΙΚΗ οὐκ ἂν ποιήσαιμ᾽, ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
*not — would-I-do-it but the war let-it-crawl*

ΜΥΡΡΙΝΗ μὰ Δί᾽ οὐδ᾽ ἐγὼ γάρ, ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
*by Zeus not-even I for but the war let-it-crawl*

ΛΥΣΙΣΤΡΑΤΗ ταυτὶ σὺ λέγεις ὦ ψῆττα; καὶ μὴν ἄρτι γε
*this-here you say O flatfish and truly just-now at-least*

ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.
*you-said of-yourself even to-cut-off the-half*

ΚΑΛΟΝΙΚΗ ἄλλ᾽ ἄλλ᾽ ὅ τι βούλει·
*other other what thing you-wish*

κἄν με χρῇ διὰ τοῦ πυρὸς
*even-if me it-be-needful through the fire*

ἐθέλω βαδίζειν· τοῦτο μᾶλλον τοῦ πέους.
*I-am-willing to-walk this rather than-the cock*

οὐδὲν γὰρ οἷον ὦ φίλη Λυσιστράτη.
*nothing for like-it O dear Lysistrata*
ΛΥΣΙΣΤΡΑΤΗ τί δαὶ σύ; ΑΛΛΗ κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
*what then you and-I wish through the fire*
ΛΥΣΙΣΤΡΑΤΗ ὦ παγκατάπυγον θἠμέτερον ἅπαν γένος,
*O utterly-buggered the-our all race*
οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.
*not for-nothing from us are the tragedies*
οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
*nothing for we-are except Poseidon and tub*
ἀλλ' ὦ φίλη Λάκαινα, σὺ γὰρ ἐὰν γένῃ
*but O dear Laconian you for if you-become*
μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν,
*alone with me the matter we-might-save still —*
ξυμψήφισαί μοι. ΛΑΜΠΙΤΩ χαλεπὰ μὲν ναὶ τὼ σιὼ
*vote-with me hard indeed yes by-the two-gods*
γυναῖκάς ἐσθ' ὑπνῶν ἄνευ ψωλᾶς μόνας.
*women it-is to-sleep without cock alone*
ὅμως γα μάν· δεῖ τᾶς γὰρ εἰράνας μάλ' αὖ.
*nevertheless at-least truly needful of-the for peace very in-turn*
ΛΥΣΙΣΤΡΑΤΗ ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.
*O dearest you and alone of-these woman*
ΚΑΛΟΝΙΚΗ εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις,
*if and as most we-should-abstain from-what you indeed say*
ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
*which not may-it-happen more — because-of this-here*
γένοιτ' ἂν εἰρήνη; ΛΥΣΙΣΤΡΑΤΗ πολύ γε νὴ τὼ θεώ.
*would-come — peace by-much at-least by the two-goddesses*
εἰ γὰρ καθοίμεθ' ἔνδον ἐντετριμμέναι,
*if for we-should-sit inside made-up*

καὐ τοῖς χιτωνίοισι τοῖς Ἀμοργίνοις
*and-in the little-tunics the Amorgine*
γυμναὶ παρίοιμεν δέλτα παρατετιλμέναι,
*naked we-should-walk-by delta plucked*
στύοιντο δ' ἄνδρες κἀπιθυμοῖεν σπλεκοῦν,
*should-have-hard-ons and the-men and-desire to-screw*
ἡμεῖς δὲ μὴ προσίοιμεν ἀλλ' ἀπεχοίμεθα,
*we and not should-approach but should-abstain*
σπονδὰς ποιήσαιντ' ἂν ταχέως, εὖ οἶδ' ὅτι.
*truce they-would-make — quickly well I-know that*
ΛΑΜΠΙΤΩ ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πᾳ
*the at-least Menelaus — of-Helen the apples somehow*
γυμνᾶς παραϊδὼν ἐξέβαλ', οἰῶ, τὸ ξίφος.
*naked having-glimpsed threw-down I-think the sword*
ΚΑΛΟΝΙΚΗ τί δ' ἢν ἀφιῶσ' ἄνδρες ἡμᾶς ὦ μέλε;
*what and if they-let-go the-men us O friend*
ΛΥΣΙΣΤΡΑΤΗ τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.
*the — of-Pherecrates dog to-skin skinned*
ΚΑΛΟΝΙΚΗ φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
*nonsense these are the imitations*
ἐὰν λαβόντες δ' ἐς τὸ δωμάτιον βίᾳ
*if taking and into the bedroom by-force*
ἕλκωσιν ἡμᾶς; ΛΥΣΙΣΤΡΑΤΗ ἀντέχου σὺ τῶν θυρῶν.
*they-drag us hold-on you to-the doors*
ΚΑΛΟΝΙΚΗ ἐὰν δὲ τύπτωσιν;
*if and they-beat*
ΛΥΣΙΣΤΡΑΤΗ παρέχειν χρὴ κακὰ κακῶς.
*to-submit one-must badly badly*
οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν.
*not for is-in these pleasure the by force*

κἄλλως ὀδυνᾶν χρή· κἀμέλει ταχέως πάνυ
*and-otherwise to-pain one-must and-never-fear quickly very*
ἀπεροῦσιν. οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
*they-will-give-up not for never will-be-pleased*
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.
*husband if not to-the wife it-suits*
ΚΑΛΟΝΙΚΗ εἴ τοι δοκεῖ σφῷν ταῦτα, χἠμῖν ξυνδοκεῖ.
*if surely it-seems-good to-you-two these and-to-us it-seems-good*
ΛΑΜΠΙΤΩ καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἁμὲς πείσομες
*and the indeed our husbands we will-persuade*
παντᾷ δικαίως ἄδολον εἰράναν ἄγειν·
*in-every-way justly guileless peace to-keep*
τὸν τῶν Ἀσαναίων γα μὰν ῥυάχετον
*the of-the Athenians at-least truly rabble*
πᾷ κά τις ἀμπείσειεν αὖ μὴ πλαδδιᾶν;
*how — anyone might-persuade in-turn not to-talk-nonsense*
ΛΥΣΙΣΤΡΑΤΗ ἡμεῖς ἀμέλει σοι τά γε παρ' ἡμῖν πείσομεν.
*we never-fear for-you the at-least among us will-persuade*
ΛΑΜΠΙΤΩ οὐχ ἅς πόδας κ' ἔχωντι ταὶ τριήρεες,
*not while feet — have the triremes*
καὶ τὠργύριον τὤβυσσον ᾗ πὰρ τᾷ σιῷ.
*and the-money the-bottomless is by the goddess*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον·
*but is also this well prepared*
καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
*we-will-seize for the acropolis today*
ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν,
*to-the oldest for has-been-assigned this to-do*
ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
*while — we these arrange*

θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
*to-sacrifice pretending to-seize the acropolis*

ΛΑΜΠΙΤΩ παντᾷ κ' ἔχοι, καὶ τᾷδε γὰρ λέγεις καλῶς.
*in-every-way — it-may-hold also this for you-say well*

ΛΥΣΙΣΤΡΑΤΗ τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστ' ὦ Λαμπιτοῖ
*why then these not as quickly-as-possible O Lampito*
ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ;
*we-swore so-that — unbreakably it-may-hold*

ΛΑΜΠΙΤΩ πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιόμεθα.
*show then the oath so-that we-may-swear*

ΛΥΣΙΣΤΡΑΤΗ καλῶς λέγεις. ποῦ 'σθ' ἡ Σκύθαινα; ποῖ βλέπεις;
*well you-say where is the Scythian-girl where do-you-look*
θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα,
*place into the front face-up the shield*
καί μοι δότω τὰ τόμιά τις. ΚΑΛΟΝΙΚΗ Λυσιστράτη
*and to-me let-give the victims someone Lysistrata*
τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς; ΛΥΣΙΣΤΡΑΤΗ ὅντινα;
*what oath will-you-make-swear ever us what*
εἰς ἀσπίδ', ὥσπερ φάσ' ἐν Αἰσχύλῳ ποτέ,
*upon shield as they-say in Aeschylus once*
μηλοσφαγούσας. ΚΑΛΟΝΙΚΗ μὴ σύ γ' ὦ Λυσιστράτη
*sacrificing-a-sheep not you at-least O Lysistrata*
εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
*upon shield swear nothing peace about*

ΛΥΣΙΣΤΡΑΤΗ τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος;
*what — then would-be — oath*
ΚΑΛΟΝΙΚΗ εἰ λευκόν ποθεν
*if white from-somewhere*
ἵππον λαβοῦσαι τόμιον ἐντεμοίμεθα.
*horse having-got victim we-should-cut*

ΛΥΣΙΣΤΡΑΤΗ ποῖ λευκὸν ἵππον; ΚΑΛΟΝΙΚΗ ἀλλὰ πῶς ὀμούμεθα
*where white horse but how shall-we-swear*
ἡμεῖς; ΛΥΣΙΣΤΡΑΤΗ ἐγώ σοι νὴ Δί᾽, ἢν βούλῃ, φράσω.
*we I to-you by Zeus if you-wish will-tell*
θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν, 195
*having-set black cup great face-up*
μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον
*sacrificing Thasian of-wine jar*
ὀμόσωμεν ἐς τὴν κύλικα μὴ ᾽πιχεῖν ὕδωρ.
*let-us-swear into the cup not to-pour-in water*
ΛΑΜΠΙΤΩ φεῦ δᾶ τὸν ὅρκον ἄφατον ὡς ἐπαινίω.
*alas earth the oath unspeakably how I-praise*
ΛΥΣΙΣΤΡΑΤΗ φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.
*let-bring cup someone from-inside and jar*
ΜΥΡΡΙΝΗ ὦ φίλταται γυναῖκες, ὁ κεραμεὼν ὅσος. 200
*O dearest women the pottery how-great*
ΚΑΛΟΝΙΚΗ ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.
*this indeed — anyone at-once would-be-pleased having-taken*
ΛΥΣΙΣΤΡΑΤΗ καταθεῖσα ταύτην προσλαβοῦ μοι τοῦ κάπρου.
*having-set-down this take-hold for-me of-the boar*
δέσποινα Πειθοῖ καὶ κύλιξ φιλοτησία,
*lady Persuasion and cup of-friendship*
τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.
*the victims receive for-the women kindly*
ΚΑΛΟΝΙΚΗ εὔχρων γε θαῖμα κἀποπυτίζει καλῶς. 205
*of-good-color at-least the-blood and-spurts well*
ΛΑΜΠΙΤΩ καὶ μὰν ποτόδδει γ᾽ ἁδὺ ναὶ τὸν Κάστορα.
*and truly smells at-least sweet by — Castor*
ΜΥΡΡΙΝΗ ἐᾶτε πρώτην μ᾽ ὦ γυναῖκες ὀμνύναι.
*let first me O women to-swear*

ΚΑΛΟΝΙΚΗ μὰ τὴν Ἀφροδίτην οὔκ, ἐάν γε μὴ λάχῃς.
*by — Aphrodite not if at-least not you-get-the-lot*

ΛΥΣΙΣΤΡΑΤΗ λάζυσθε πᾶσαι τῆς κύλικος ὦ Λαμπιτοῖ·
*take-hold all of-the cup O Lampito*

λεγέτω δ' ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω·
*let-speak and for you one what-indeed — I-too say*

ὑμεῖς δ' ἐπομεῖσθε ταὐτὰ κἀμπεδώσετε.
*you and will-swear-after the-same and-will-abide-by*

οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ —
*not is-there anyone neither lover nor husband*

ΚΑΛΟΝΙΚΗ οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ —
*not is-there anyone neither lover nor husband*

ΛΥΣΙΣΤΡΑΤΗ ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.
*who to me will-approach with-a-hard-on say*

ΚΑΛΟΝΙΚΗ ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ
*who to me will-approach with-a-hard-on ow*

ὑπολύεταί μου τὰ γόνατ' ὦ Λυσιστράτη.
*give-way of-me the knees O Lysistrata*

ΛΥΣΙΣΤΡΑΤΗ οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον —
*at-home and unbulled I-will-spend the life*

ΚΑΛΟΝΙΚΗ οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον —
*at-home and unbulled I-will-spend the life*

ΛΥΣΙΣΤΡΑΤΗ κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη, —
*saffron-wearing and dolled-up*

ΚΑΛΟΝΙΚΗ κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη, —
*saffron-wearing and dolled-up*

ΛΥΣΙΣΤΡΑΤΗ ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·
*so-that — the-husband may-be-inflamed most for-me*

ΚΑΛΟΝΙΚΗ ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·
*so-that — the-husband may-be-inflamed most for-me*

ΛΥΣΙΣΤΡΑΤΗ κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῶμῷ πείσομαι.
*and-never willing to-the-husband the-my I-will-yield*

ΚΑΛΟΝΙΚΗ κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῶμῷ πείσομαι.
*and-never willing to-the-husband the-my I-will-yield*

ΛΥΣΙΣΤΡΑΤΗ ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ, —
*if and me unwilling he-forces by-force*

ΚΑΛΟΝΙΚΗ ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ, —
*if and me unwilling he-forces by-force*

ΛΥΣΙΣΤΡΑΤΗ κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
*badly I-will-submit and-not I-will-move-with-him*

ΚΑΛΟΝΙΚΗ κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
*badly I-will-submit and-not I-will-move-with-him*

ΛΥΣΙΣΤΡΑΤΗ οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.
*not toward the ceiling I-will-raise the Persian-slippers*

ΚΑΛΟΝΙΚΗ οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.
*not toward the ceiling I-will-raise the Persian-slippers*

ΛΥΣΙΣΤΡΑΤΗ οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.
*not I-will-stand lioness on cheese-grater*

ΚΑΛΟΝΙΚΗ οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.
*not I-will-stand lioness on cheese-grater*

ΛΥΣΙΣΤΡΑΤΗ ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·
*these abiding-by indeed may-I-drink from-here*

ΚΑΛΟΝΙΚΗ ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·
*these abiding-by indeed may-I-drink from-here*

ΛΥΣΙΣΤΡΑΤΗ εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.
*if and I-transgress of-water may-be-filled the cup*

ΚΑΛΟΝΙΚΗ εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.
*if and I-transgress of-water may-be-filled the cup*

ΛΥΣΙΣΤΡΑΤΗ συνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι; ΠΑΣΑΙ νὴ Δία.
*do-you-swear-with you these all by Zeus*

ΛΥΣΙΣΤΡΑΤΗ φέρ᾽ ἐγὼ καθαγίσω τήνδε.
*come I let-me-consecrate this*
ΚΑΛΟΝΙΚΗ τὸ μέρος γ᾽ ὦ φίλη,
*the part at-least O dear*
ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.
*so-that — we-may-be at-once of-one-another friends*
ΛΑΜΠΙΤΩ τίς ὠλολυγά; ΛΥΣΙΣΤΡΑΤΗ τοῦτ᾽ ἐκεῖν᾽ οὑγὼ ᾽λεγον·
*what cry-of-joy this that which-I said*
αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ
*the for women the acropolis of-the goddess*
ἤδη κατειλήφασιν. ἀλλ᾽ ὦ Λαμπιτοῖ
*already have-seized but O Lampito*
σὺ μὲν βάδιζε καὶ τὰ παρ᾽ ὑμῶν εὖ τίθει,
*you indeed go and the with you well arrange*
τασδὶ δ᾽ ὁμήρους κατάλιφ᾽ ἡμῖν ἐνθάδε·
*these-here and hostages leave to-us here*
ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
*we and with-the others the in city*
ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.
*let-us-help-thrust going-in the bars*
ΚΑΛΟΝΙΚΗ οὔκουν ἐφ᾽ ἡμᾶς ξυμβοηθήσειν οἴει
*not-then against us to-come-to-help do-you-think*
τοὺς ἄνδρας εὐθύς; ΛΥΣΙΣΤΡΑΤΗ ὀλίγον αὐτῶν μοι μέλει.
*the men at-once little of-them to-me it-matters*
οὐ γὰρ τοσαύτας οὔτ᾽ ἀπειλὰς οὔτε πῦρ
*not for so-many neither threats nor fire*
ἥξουσ᾽ ἔχοντες ὥστ᾽ ἀνοῖξαι τὰς πύλας
*they-will-come having so-as to-open the gates*
ταύτας, ἐὰν μὴ ᾽φ᾽ οἷσιν ἡμεῖς εἴπομεν.
*these if not on what we said*

ΚΑΛΟΝΙΚΗ μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ'· ἄλλως γὰρ ἂν
*by — Aphrodite never at-least otherwise for —*
ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.
*unconquerable women and foul we-would-be-called —*

## II · FIRE AND WATER

*A chorus of old men struggles up to the Acropolis with logs and fire to smoke the women out, recalling how they besieged Cleomenes there. A chorus of old women arrives with pitchers of water to defend it. The two sides trade threats and insults, and the women douse the old men.*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ χώρει Δράκης, ἡγοῦ βάδην,
*go Draces lead step-by-step*
εἰ καὶ τὸν ὦμον ἀλγεῖς
*if even the shoulder you-ache*
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.
*of-log so-great weight green carrying of-olive*
ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν τῷ μακρῷ βίῳ φεῦ,
*truly many-things unexpected are-in in the long life alas*
ἐπεὶ τίς ἄν ποτ' ἤλπισ' ὦ Στρυμόδωρ' ἀκοῦσαι
*since who — ever would-have-expected O Strymodorus to-hear*
γυναῖκας, ἃς ἐβόσκομεν
*women whom we-fed*
κατ' οἶκον ἐμφανὲς κακόν,
*in house plain evil*
κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
*down indeed holy to-hold image*
κατὰ δ' ἀκρόπολιν ἐμὰν λαβεῖν
*down and acropolis my to-seize*

μοχλοῖς δὲ καὶ κλῄθροισι
*with-bars and and with-bolts*
τὰ προπύλαια πακτοῦν;
*the gateway to-fasten*
ἀλλ᾽ ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν ὦ Φιλοῦργε,
*but as quickly-as-possible to acropolis let-us-hurry O Philurgus*
ὅπως ἄν, αὐταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί,
*so-that — around-them in circle having-set the logs these-here*
ὅσαι τὸ πρᾶγμα τοῦτ᾽ ἐνεστήσαντο καὶ μετῆλθον,
*as-many-as the matter this set-up and pursued*
μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
*one pyre having-heaped let-us-burn with-our-own-hands*
πάσας, ὑπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.
*all by vote one first and the of-Lycon*
οὐ γὰρ μὰ τὴν Δήμητρ᾽ ἐμοῦ ζῶντος ἐγχανοῦνται·
*not for by — Demeter me living they-will-mock*
ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐτὴν κατέσχε πρῶτος,
*since not-even Cleomenes who it held first*
ἀπῆθεν ἀψάλακτος, ἀλλ᾽
*went-off unscathed but*
ὅμως Λακωνικὸν πνέων
*nevertheless Laconian breathing*
ᾤχετο θώπλα παραδοὺς ἐμοί,
*went the-arms having-handed-over to-me*
σμικρὸν ἔχων πάνυ τριβώνιον,
*little having very little-cloak*
πινῶν ῥυπῶν ἀπαράτιλτος,
*dirty filthy unplucked*
ἓξ ἐτῶν ἄλουτος.
*for-six years unwashed*

οὕτως ἐπολιόρκησ᾽ ἐγὼ τὸν ἄνδρ᾽ ἐκεῖνον ὠμῶς
*so besieged I the man that savagely*
ἐφ᾽ ἑπτακαίδεκ᾽ ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων.
*in seventeen shields at the gates sleeping*
τασδὶ δὲ τὰς Εὐριπίδῃ θεοῖς τε πᾶσιν ἐχθρὰς
*these-here and the to-Euripides to-gods and all hateful*
ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου;
*I not then shall-I-stop being-present of-daring so-great*
μή νυν ἔτ᾽ ἐν τῇ τετραπόλει τοὐμὸν τροπαῖον εἴη. 285
*not then still in the Tetrapolis the-my trophy may-be*
ἀλλ᾽ αὐτὸ γάρ μοι τῆς ὁδοῦ
*but itself for to-me of-the road*
λοιπόν ἐστι χωρίον
*remaining is place*
τὸ πρὸς πόλιν τὸ σιμόν, οἷ σπουδὴν ἔχω·
*the toward acropolis the steep whither haste I-have*
χὤπως ποτ᾽ ἐξαμπρεύσομεν
*and-how ever we-shall-haul-up*
τοῦτ᾽ ἄνευ κανθηλίου. 290
*this without donkey*
ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον·
*since my at-least the two-logs the shoulder have-crushed*
ἀλλ᾽ ὅμως βαδιστέον,
*but nevertheless one-must-walk*
καὶ τὸ πῦρ φυσητέον,
*and the fire one-must-blow*
μή μ᾽ ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ.
*lest me having-gone-out it-escape-notice at the end of-the road*
φῦ φῦ. 295
*phew phew*

ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
*oh oh of-the smoke*
ὡς δεινὸν ὦναξ Ἡράκλεις
*how terribly O-lord Heracles*
προσπεσόν μ' ἐκ τῆς χύτρας
*having-leapt-at me from the pot*
ὥσπερ κύων λυττῶσα τὼφθαλμὼ δάκνει·
*like dog rabid the-two-eyes bites*
κἄστιν γε Λήμνιον τὸ πῦρ
*and-it-is at-least Lemnian the fire*
300 τοῦτο πάσῃ μηχανῇ.
*this by-every means*
οὐ γὰρ ἄν ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
*not for — ever so with-teeth it-would-bite the rheum my*
σπεῦδε πρόσθεν ἐς πόλιν
*hurry forward to acropolis*
καὶ βοήθει τῇ θεῷ.
*and help the goddess*
ἢ πότ' αὐτῇ μᾶλλον ἢ νῦν ὦ Λάχης ἀρήξομεν;
*or when her more than now O Laches shall-we-aid*
305 φῦ φῦ.
*phew phew*
ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
*oh oh of-the smoke*
τουτὶ τὸ πῦρ ἐγρήγορεν θεῶν ἔκατι καὶ ζῇ.
*this-here the fire is-awake by-gods' grace and lives*
οὔκουν ἄν, εἰ τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ,
*not-then — if the indeed two-logs we-should-set first here*
τῆς ἀμπέλου δ' ἐς τὴν χύτραν τὸν φανὸν ἐγκαθέντες
*of-the vine and into the pot the torch having-put-in*

ἅψαντες εἶτ' ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν;
*having-lit then into the door ram-wise we-should-fall*
κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες,
*and-if not at-our-calling the bars they-loosen the women*
ἐμπιμπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν.
*to-burn one-must the doors and with-the smoke to-press*
θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ βαβαιάξ.
*let-us-set-down indeed the load phew of-the smoke bless-me*
τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;
*who would-lend-a-hand — with-the log of-the in Samos generals*
ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.
*these-here indeed already the back pressing my have-stopped*
σὸν δ' ἔργον ἐστὶν ὦ χύτρα τὸν ἄνθρακ' ἐξεγείρειν,
*your and task is O pot the coal to-wake*
τὴν λαμπάδ' ἡμμένην ὅπως πρώτιστ' ἐμοὶ προσοίσεις.
*the torch lit so-that very-first to-me you-may-bring*
δέσποινα Νίκη ξυγγενοῦ τῶν τ' ἐν πόλει γυναικῶν
*lady Victory stand-by-us of-the and in city women*
τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τροπαῖον ἡμᾶς.
*over-the now present boldness to-set trophy us*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ λιγνὺν δοκῶ μοι καθορᾶν
*smoke I-seem to-me to-see*
καὶ καπνὸν ὦ γυναῖκες
*and fumes O women*
ὥσπερ πυρὸς καομένου· σπευστέον ἐστὶ θᾶττον.
*as of-fire burning one-must-hurry is quicker*
πέτου πέτου Νικοδίκη,
*fly fly Nicodice*
πρὶν ἐμπεπρῆσθαι Καλύκην
*before to-be-burned-up Calyce*

τε καὶ Κρίτυλλαν περιφυσήτω
*and also Critylla blown-about*
†ὑπό τε νόμων† ἀργαλέων
*by and laws harsh*
ὑπό τε γερόντων ὀλέθρων.
*by and old-men baneful*
ἀλλὰ φοβοῦμαι τόδε, μῶν ὑστερόπους βοηθῶ.
*but I-fear this surely-not lagging I-help*
νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία
*now indeed for having-filled the pitcher at-dawn*
μόλις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου καὶ πατάγου
*hardly from spring by crowd and din and clatter*
χυτρείου,
*of-pots*
δούλαισιν ὠστιζομένη
*by-slave-girls jostled*
***
*(lacuna)*
στιγματίαις θ', ἁρπαλέως
*branded-ones and eagerly*
ἀραμένη ταῖσιν ἐμαῖς
*having-lifted to-the my*
δημότισιν καομέναις
*fellow-demeswomen burning*
φέρουσ' ὕδωρ βοηθῶ.
*bringing water I-help*
ἤκουσα γὰρ τυφογέροντας
*I-heard for doting-old*
ἄνδρας ἔρρειν, στελέχη
*men to-go-along logs*

φέροντας ὥσπερ βαλανεύσοντας
*carrying as-if about-to-heat-a-bath*
ἐς πόλιν ὡς τριτάλαντον βάρος,
*to acropolis like three-talent weight*
δεινότατ' ἀπειλοῦντας ἐπῶν
*most-terrible threatening of-words*
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν· 340
*that with-fire one-must the loathsome women to-burn-to-charcoal*
ἃς ὦ θεὰ μή ποτ' ἐγὼ πιμπραμένας ἴδοιμι,
*whom O goddess not ever I burning may-see*
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας Ἑλλάδα καὶ
*but from-war and madnesses having-rescued Greece and*
πολίτας,
*citizens*
ἐφ' οἷσπερ ὦ χρυσολόφα
*for which-indeed O golden-crested*
πολιοῦχε σὰς ἔσχον ἕδρας. 345
*city-holder your they-held seats*
καί σε καλῶ ξύμμαχον ὦ
*and you I-call ally O*
Τριτογένει', εἴ τις ἐκείνας
*Trito-born if any them*
ὑποπίμπρησιν ἀνήρ,
*sets-fire-to man*
φέρειν ὕδωρ μεθ' ἡμῶν.
*to-bring water with us*
ἔασον ὦ. τουτὶ τί ἦν; ὦνδρες πόνῳ πόνηροι· 350
*let-be O this-here what was-it O-men in-toil wicked*
οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς τάδ' ἄνδρες.
*not for ever — good at-least would-do nor pious these men*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τουτὶ τὸ πρᾶγμ᾽ ἡμῖν ἰδεῖν ἀπροσδόκητον ἥκει·
*this-here the matter to-us to-see unexpected comes*
ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.
*swarm of-women this-here at-the-door in-turn helps*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ τί βδύλλεθ᾽ ἡμᾶς;
*why do-you-fear us*
οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι;
*not at-all surely many we-seem to-be*
355 καὶ μὴν μέρος γ᾽ ἡμῶν ὁρᾶτ᾽ οὔπω τὸ μυριοστόν.
*and truly part at-least of-us you-see not-yet the ten-thousandth*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ὦ Φαιδρία ταύτας λαλεῖν ἐάσομεν τοσαυτί;
*O Phaedrias these to-chatter shall-we-let so-much*
οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ᾽ ἐχρῆν τιν᾽ αὐταῖς;
*not to-break-around the log beating ought someone on-them*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ θώμεσθα δὴ τὰς κάλπιδας
*let-us-set-down then the pitchers*
χἠμεῖς χαμᾶζ᾽, ὅπως ἂν
*we-too on-the-ground so-that —*
ἢν προσφέρῃ τὴν χεῖρά τις μὴ τοῦτό μ᾽ ἐμποδίζῃ.
*if brings-against the hand anyone not this me may-hinder*
360 ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ εἰ νὴ Δί᾽ ἤδη τὰς γνάθους
*if by Zeus already the jaws*
τούτων τις ἢ δὶς ἢ τρὶς
*of-these someone or twice or thrice*
ἔκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.
*had-struck like of-Bupalus voice — not — they-would-have*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ καὶ μὴν ἰδοὺ παταξάτω τις· στᾶσ᾽ ἐγὼ παρέξω,
*and truly look let-strike someone standing I will-offer*
κοὐ μή ποτ᾽ ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.
*and-not not ever other of-you bitch the balls will-take-hold-of*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ εἰ μὴ σιωπήσει,
*if not you-will-be-silent*
θενών σου 'κκοκκιῶ τὸ γῆρας.
*striking of-you I-will-thresh-out the old-age*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἅψαι μόνον Στρατυλλίδος
*touch only Stratyllis*
τῷ δακτύλῳ προσελθών.
*with-the finger approaching*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τί δ' ἢν σποδῶ τοῖς κονδύλοις;
*what and if I-pound-you with-the fists*
τί μ' ἐργάσει τὸ δεινόν;
*what me will-you-do the terrible*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ βρύκουσά σου τοὺς πλεύμονας
*gnawing of-you the lungs*
καὶ τἄντερ' ἐξαμήσω.
*and the-guts I-will-reap-out*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής·
*not is man than-Euripides wiser poet*
οὐδὲν γὰρ οὕτω θρέμμ' ἀναιδές ἐστιν ὡς γυναῖκες.
*nothing for so creature shameless is as women*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ αἰρώμεθ' ἡμεῖς θοὔδατος τὴν κάλπιν ὦ Ῥοδίππη.
*let-us-lift we of-the-water the pitcher O Rhodippe*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τί δ' ὦ θεοῖς ἐχθρὰ σὺ
*why and O to-gods hateful you*
δεῦρ' ὕδωρ ἔχουσ' ἀφίκου;
*here water having did-you-come*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ τί δαὶ σὺ πῦρ ὦ τύμβ'
*why then you fire O tomb*
ἔχων; ὡς σαυτὸν ἐμπυρεύσων;
*having as yourself to-burn*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἐγὼ μὲν ἵνα νήσας
*I indeed so-that having-heaped*
πυρὰν τὰς σὰς φίλας ὑφάψω.
*pyre the your friends I-may-kindle*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἐγὼ δέ γ᾽ ἵνα τὴν σὴν
*I and at-least so-that the your*
πυρὰν τούτῳ κατασβέσαιμι.
*pyre with-this I-may-quench*
375 ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τοὐμὸν σὺ πῦρ κατασβέσεις;
*the-my you fire will-quench*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ τοὔργον τάχ᾽ αὐτὸ δείξει.
*the-deed soon itself will-show*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ οὐκ οἶδά σ᾽ εἰ τῇδ᾽
*not I-know you if with-this*
ὡς ἔχω τῇ λαμπάδι σταθεύσω.
*as I-have the torch I-shall-roast*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ εἰ ῥύμμα τυγχάνεις ἔχων,
*if soap you-happen having*
λουτρόν γ᾽ ἐγὼ παρέξω.
*bath at-least I will-provide*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἐμοὶ σὺ λουτρὸν ὦ σαπρά;
*to-me you bath O rotten*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ καὶ ταῦτα νυμφικόν γε.
*and this bridal at-least*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἤκουσας αὐτῆς τοῦ θράσους;
*did-you-hear her the boldness*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἐλευθέρα γάρ εἰμι.
*free for I-am*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ σχήσω σ᾽ ἐγὼ τῆς νῦν βοῆς.
*I-will-stop you I of-the now shouting*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλ᾽ οὐκέθ᾽ ἡλιάζει.
*but no-longer you-are-a-juror*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἔμπρησον αὐτῆς τὰς κόμας.
*set-fire-to her the hair*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ σὸν ἔργον ὦχελῷε.
*your task O-Achelous*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ οἴμοι τάλας. ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ μῶν θερμὸν ἦν;
*ah-me wretched surely-not hot was-it*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ποῖ θερμόν; οὐ παύσει; τί δρᾷς;
*how hot not will-you-stop what are-you-doing*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἄρδω σ᾽ ὅπως ἂν βλαστάνῃς.
*I-water you so-that — you-may-sprout*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἀλλ᾽ αὖός εἰμ᾽ ἤδη τρέμων.
*but withered I-am already trembling*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις, σὺ χλιανεῖς σεαυτόν.
*then since fire you-have you you-will-warm yourself*

*A magistrate complains of women's rites and of husbands who let goldsmiths and shoemakers handle their wives. He orders crowbars brought against the gates, but Lysistrata comes out of her own accord. His archers try to seize her and are routed by her allies, the market women of the Acropolis.*

ΠΡΟΒΟΥΛΟΣ ἆρ᾽ ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ
*— has-blazed-out of-the women the luxury*
χὠ τυμπανισμὸς χοἰ πυκνοὶ Σαβάζιοι,
*and-the drumming and-the frequent Sabazius-cries*
ὅ τ᾽ Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν,
*the and Adonis-wailing this the-on the roofs*
οὗ ᾽γώ ποτ᾽ ὢν ἤκουον ἐν τἠκκλησίᾳ;
*which I once being heard in the-assembly*
ἔλεγε δ᾽ ὁ μὴ ὥρασι μὲν Δημόστρατος
*said and the not to-his-season indeed Demostratus*
πλεῖν ἐς Σικελίαν, ἡ γυνὴ δ᾽ ὀρχουμένη
*to-sail to Sicily the wife and dancing*
"αἰαῖ Ἄδωνιν" φησίν, ὁ δὲ Δημόστρατος
*alas Adonis says the and Demostratus*
ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων·
*said hoplites to-enroll of-Zacynthians*
ἡ δ᾽ ὑποπεπωκυῖ᾽ ἡ γυνὴ ᾽πὶ τοῦ τέγους
*the and having-drunk-a-little the wife on the roof*
"κόπτεσθ᾽ Ἄδωνιν" φησίν· ὁ δ᾽ ἐβιάζετο
*beat-your-breasts Adonis says he and forced-it-through*
ὁ θεοῖσιν ἐχθρὸς καὶ μιαρὸς Χολοζύγης.
*the to-gods hateful and foul Cholozyges*
τοιαῦτ᾽ ἀπ᾽ αὐτῶν ἐστιν ἀκόλαστ᾽ ᾄσματα.
*such-things from them are licentious songs*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τί δῆτ' ἂν εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν;
*what then — if you-should-learn also the of-these insolence*
αἳ τἄλλα θ' ὑβρίκασι κἀκ τῶν καλπίδων
*who the-rest and have-outraged and-from the pitchers*
ἔλουσαν ἡμᾶς, ὥστε θαἰματίδια
*bathed us so-that the-cloaks*
σείειν πάρεστιν ὥσπερ ἐνεουρηκότας.
*to-shake it-is-possible as-if having-pissed-in-them*
ΠΡΟΒΟΥΛΟΣ νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε.
*by — Poseidon the salty just at-least*
ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα
*when for ourselves join-in-villainy*
ταῖσιν γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν,
*with-the women and teach to-live-luxuriously*
τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
*such-things from them sprout plans*
οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί·
*we-who say in the of-craftsmen such-here*
"ὦ χρυσοχόε τὸν ὅρμον ὃν ἐπεσκεύασας,
*O goldsmith the necklace which you-repaired*
ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας
*dancing my the wife at-evening*
ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
*the pin has-fallen-out from the hole*
ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα·
*for-me indeed then it-is to Salamis to-sail*
σὺ δ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν
*you and if you-are-free in-every way toward evening*
ἐλθὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον."
*having-come for-her the pin fit-in*

ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει
*another and someone to shoemaker these-here says*
νεανίαν καὶ πέος ἔχοντ᾽ οὐ παιδικόν·
*youth and cock having not boyish*
"ὦ σκυτοτόμε μου τῆς γυναικὸς τοῦ ποδὸς
*O shoemaker of-me of-the wife of-the foot*
τὸ δακτυλίδιον ξυμπιέζει τὸ ζυγὸν
*the little-toe pinches the strap*
ἅθ᾽ ἁπαλὸν ὄν· τοῦτ᾽ οὖν σὺ τῆς μεσημβρίας
*as tender being this then you at-the noon*
ἐλθὼν χάλασον, ὅπως ἂν εὐρυτέρως ἔχῃ."
*having-come loosen so-that — more-widely it-may-be*
τοιαῦτ᾽ ἀπήντηκ᾽ ἐς τοιαυτὶ πράγματα,
*such-things have-come to such-here affairs*
ὅτε γ᾽ ὢν ἐγὼ πρόβουλος, ἐκπορίσας ὅπως
*when at-least being I councilor having-provided how*
κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον,
*oars there-will-be of-the-money now being-needed*
ὑπὸ τῶν γυναικῶν ἀποκέκλῃμαι ταῖς πύλαις.
*by the women I-am-shut-out at-the gates*
ἀλλ᾽ οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλούς,
*but no use to-stand bring the crowbars*
ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
*so-that — them of-the insolence I may-check*
τί κέχηνας ὦ δύστηνε; ποῖ δ᾽ αὖ σὺ βλέπεις,
*why do-you-gape O wretch where and in-turn you do-you-look*
οὐδὲν ποιῶν ἀλλ᾽ ἢ καπηλεῖον σκοπῶν;
*nothing doing but — tavern watching*
οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
*not having-put-under the crowbars under the gates*

ἐντεῦθεν ἐκμοχλεύσετ'; ἐνθενδὶ δ' ἐγὼ
*from-there will-you-pry-up from-here and I*
ξυνεκμοχλεύσω. ΛΥΣΙΣΤΡΑΤΗ μηδὲν ἐκμοχλεύετε·
*will-help-pry-up nothing pry-up*
ἐξέρχομαι γὰρ αὐτομάτη. τί δεῖ μοχλῶν;
*I-come-out for of-my-own-accord what need of-crowbars*
οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον ἢ νοῦ καὶ φρενῶν.
*not for of-crowbars there-is-need more than of-sense and wits*
ΠΡΟΒΟΥΛΟΣ ἄληθες ὦ μιαρὰ σύ; ποῦ 'σθ' ὁ τοξότης;
*really O foul you where is the archer*
ξυλλάμβαν' αὐτὴν κὠπίσω τὼ χεῖρε δεῖ.
*seize her and-behind the two-hands tie*
ΛΥΣΙΣΤΡΑΤΗ εἴ τἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
*if then by — Artemis the hand on-me*
ἄκραν προσοίσει δημόσιος ὤν, κλαύσεται.
*tip he-will-lay public-slave being he-will-weep*
ΠΡΟΒΟΥΛΟΣ ἔδεισας οὗτος; οὐ ξυναρπάσει μέσην
*you-were-afraid you not will-you-seize round-the-middle*
καὶ σὺ μετὰ τούτου κἀνύσαντε δήσετον;
*and you with this and-quickly tie-you-two*
ΓΥΝΗ Α′ εἴ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
*if then by — Pandrosus on-her only*
τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.
*the hand you-lay you-will-shit-yourself being-trampled*
ΠΡΟΒΟΥΛΟΣ ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
*look at-least you-will-shit-yourself where is other archer*
ταύτην προτέραν ξύνδησον, ὁτιὴ καὶ λαλεῖ.
*her first tie because also she-chatters*

ΓΥΝΗ Β′ εἴ τἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ᾽ ἄκραν
*if then by — Light-bringer the hand tip*
ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.
*on-her you-lay ladle you-will-ask-for soon*
ΠΡΟΒΟΥΛΟΣ τουτὶ τί ἦν; ποῦ τοξότης; ταύτης ἔχου.
*this-here what was-it where archer of-her take-hold*
παύσω τιν᾽ ὑμῶν τῆσδ᾽ ἐγὼ τῆς ἐξόδου.
*I-will-stop someone of-you of-this I of-the going-out*
ΓΥΝΗ Γ′ εἴ τἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ πρόσει,
*if then by — Bull-goddess at-her you-approach*
ἐκκοκκιῶ σου τὰς στενοκωκύτους τρίχας.
*I-will-pluck-out of-you the groan-provoking hairs*
ΠΡΟΒΟΥΛΟΣ οἴμοι κακοδαίμων· ἐπιλέλοιφ᾽ ὁ τοξότης.
*ah-me ill-starred has-run-out the archer*
ἀτὰρ οὐ γυναικῶν οὐδέποτ᾽ ἔσθ᾽ ἡττητέα
*but not by-women ever it-is to-be-defeated*
ἡμῖν· ὁμόσε χωρῶμεν αὐταῖς ὦ Σκύθαι
*for-us to-close-quarters let-us-go with-them O Scythians*
ξυνταξάμενοι. ΛΥΣΙΣΤΡΑΤΗ νὴ τὼ θεὼ γνώσεσθ᾽ ἄρα
*having-formed-ranks by the two-goddesses you-will-know then*
ὅτι καὶ παρ᾽ ἡμῖν εἰσι τέτταρες λόχοι
*that also with us are four companies*
μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.
*of-warlike women inside fully-armed*
ΠΡΟΒΟΥΛΟΣ ἀποστρέφετε τὰς χεῖρας αὐτῶν ὦ Σκύθαι.
*twist-back the hands of-them O Scythians*
ΛΥΣΙΣΤΡΑΤΗ ὦ ξύμμαχοι γυναῖκες ἐκθεῖτ᾽ ἔνδοθεν,
*O allied women run-out from-inside*
ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες,
*O seed-market-pulse-vegetable-sellers*

ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες,
*O garlic-innkeeper-bread-sellers*
οὐχ ἕλξετ', οὐ παιήσετ', οὐκ ἀράξετε;
*not will-you-drag not will-you-strike not will-you-smash*
οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε;
*not will-you-abuse not will-you-be-shameless*
παύσασθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.
*stop retreat not strip-the-spoils*
ΠΡΟΒΟΥΛΟΣ οἴμ' ὡς κακῶς πέπραγέ μου τὸ τοξικόν.
*ah-me how badly has-fared my the archery*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλὰ τί γὰρ ᾤου; πότερον ἐπὶ δούλας τινὰς
*but what for did-you-think whether against slave-women some*
ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει
*to-come you-thought or in-women not do-you-think*
χολὴν ἐνεῖναι; ΠΡΟΒΟΥΛΟΣ νὴ τὸν Ἀπόλλω καὶ μάλα
*bile to-be-in by — Apollo and very*
πολλήν γ', ἐάνπερ πλησίον κάπηλος ᾖ.
*much at-least if-indeed near tavern-keeper be*

*Lysistrata tells the magistrate that the women hold the treasury so the men cannot spend it on war, and will manage it like the household. She recounts how wives once suffered their husbands' bad policies in silence, and the women dress him as a woman. She proposes to untangle the state like wool, carding out the villains and spinning one cloak for the people, and says war costs women their sons and their youth. The women then lay him out as a corpse.*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ὦ πόλλ' ἀναλώσας ἔπη
*O many having-spent words*
πρόβουλε τῆσδε τῆς γῆς,
*councilor of-this the land*
τί τοῖσδε σαυτὸν ἐς λόγους τοῖς θηρίοις συνάπτεις;
*why with-these yourself into words the beasts do-you-join*
οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι
*not do-you-know bath what these us bathed just-now*
ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ' ἄνευ κονίας;
*in the little-cloaks and this without lye*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλ' ὦ μέλ' οὐ χρὴ
*but O friend not one-must*
προσφέρειν τοῖς πλησίοισιν εἰκῇ
*to-bring-against the neighbors at-random*
τὴν χεῖρ'· ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη.
*the hand if and this you-do to-have-a-black-eye necessity*
ἐπεὶ 'θέλω 'γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι,
*since I-am-willing I modestly like maiden to-sit*
λυποῦσα μηδέν' ἐνθαδί, κινοῦσα μηδὲ κάρφος,
*annoying no-one here moving not-even twig*
ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.
*if not someone like wasps'-nest robs me and-provokes*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ὦ Ζεῦ τί ποτε χρησόμεθα
*O Zeus what ever shall-we-do*
τοῖσδε τοῖς κνωδάλοις;
*with-these the monsters*
οὐ γὰρ ἔτ' ἀνεκτὰ τάδε γ', ἀλλὰ βασανιστέον
*not for still bearable these at-least but one-must-question*
τόδε σοι τὸ πάθος μετ' ἐμοῦ
*this with-you the matter with me*
ὅ τι βουλόμεναί ποτε τὴν
*what thing wishing ever the*
Κραναὰν κατέλαβον, ἐφ' ὅ τι τε
*Cranaan they-seized for what thing and*
μεγαλόπετρον ἄβατον ἀκρόπολιν
*great-rocked untrodden acropolis*
ἱερὸν τέμενος.
*holy precinct*
ἀλλ' ἀνερώτα καὶ μὴ πείθου
*but question and not be-persuaded*
καὶ πρόσφερε πάντας ἐλέγχους,
*and bring all tests*
ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν
*since shameful untested to-leave*
τὸ τοιοῦτον πρᾶγμα μεθέντας.
*the such matter having-let-go*

ΠΡΟΒΟΥΛΟΣ καὶ μὴν αὐτῶν τοῦτ᾽ ἐπιθυμῶ
*and truly of-them this I-desire*
νὴ τὸν Δία πρῶτα πυθέσθαι,
*by — Zeus first to-learn*
ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν
*what thing wishing the acropolis our*
ἀπεκλήσατε τοῖσι μοχλοῖσιν.
*you-shut with-the bars*
ΛΥΣΙΣΤΡΑΤΗ ἵνα τἀργύριον σῶν παρέχοιμεν
*so-that the-money safe we-might-keep*
καὶ μὴ πολεμοῖτε δι᾽ αὐτό.
*and not you-might-war because-of it*
ΠΡΟΒΟΥΛΟΣ διὰ τἀργύριον πολεμοῦμεν γάρ;
*because-of the-money we-make-war for*
ΛΥΣΙΣΤΡΑΤΗ καὶ τἄλλα γε πάντ᾽ ἐκυκήθη.
*and the-rest at-least all was-stirred-up*
ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν
*so-that for Peisander might-be-able to-steal*
χοἱ ταῖς ἀρχαῖς ἐπέχοντες,
*and-the at-the offices aiming*
ἀεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ᾽ οὖν
*always some uproar stirred-up they and then*
τοῦδ᾽ οὕνεκα δρώντων
*of-this for-the-sake let-them-do*
ὅ τι βούλονται· τὸ γὰρ ἀργύριον
*what thing they-wish the for money*
τοῦτ᾽ οὐκέτι μὴ καθέλωσιν.
*this no-more not they-will-take-down*

ΠΡΟΒΟΥΛΟΣ ἀλλὰ τί δράσεις; ΛΥΣΙΣΤΡΑΤΗ τοῦτό μ'
*but what will-you-do this me*
ἐρωτᾷς; ἡμεῖς ταμιεύσομεν αὐτό.
*you-ask we will-manage it*
ΠΡΟΒΟΥΛΟΣ ὑμεῖς ταμιεύσετε τἀργύριον;
*you will-manage the-money*
ΛΥΣΙΣΤΡΑΤΗ τί δὲ δεινὸν τοῦτο νομίζεις;
*what and terrible this do-you-think*
οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν; 495
*not also the-house goods wholly we manage for-you*
ΠΡΟΒΟΥΛΟΣ ἀλλ' οὐ ταὐτόν. ΛΥΣΙΣΤΡΑΤΗ πῶς οὐ ταὐτόν;
*but not the-same how not the-same*
ΠΡΟΒΟΥΛΟΣ πολεμητέον ἔστ' ἀπὸ τούτου.
*one-must-make-war is from this*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν.
*but not-at-all one-must first to-make-war*
ΠΡΟΒΟΥΛΟΣ πῶς γὰρ σωθησόμεθ' ἄλλως;
*how for shall-we-be-saved otherwise*
ΛΥΣΙΣΤΡΑΤΗ ἡμεῖς ὑμᾶς σώσομεν. ΠΡΟΒΟΥΛΟΣ ὑμεῖς;
*we you will-save you*
ΛΥΣΙΣΤΡΑΤΗ ἡμεῖς μέντοι. ΠΡΟΒΟΥΛΟΣ σχέτλιόν γε.
*we however outrageous at-least*
ΛΥΣΙΣΤΡΑΤΗ ὡς σωθήσει, κἂν μὴ βούλῃ. ΠΡΟΒΟΥΛΟΣ δεινόν
*since you-will-be-saved even-if not you-wish terrible*
γε λέγεις. ΛΥΣΙΣΤΡΑΤΗ ἀγανακτεῖς.
*at-least you-say you-are-vexed*
ἀλλὰ ποιητέα ταῦτ' ἐστὶν ὅμως. 500
*but must-be-done these are nevertheless*
ΠΡΟΒΟΥΛΟΣ νὴ τὴν Δήμητρ' ἄδικόν γε.
*by — Demeter unjust at-least*

ΛΥΣΙΣΤΡΑΤΗ σωστέον ὦ τᾶν. ΠΡΟΒΟΥΛΟΣ κεἰ μὴ δέομαι;
*must-be-saved O my-friend and-if not I-need*

ΛΥΣΙΣΤΡΑΤΗ τοῦδ' οὕνεκα καὶ πολὺ μᾶλλον.
*of-this for-the-sake and much more*

ΠΡΟΒΟΥΛΟΣ ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου
*to-you and whence about the war*

τῆς τ' εἰρήνης ἐμέλησεν;
*the and peace did-it-matter*

ΛΥΣΙΣΤΡΑΤΗ ἡμεῖς φράσομεν. ΠΡΟΒΟΥΛΟΣ λέγε δὴ ταχέως,
*we will-tell speak then quickly*

ἵνα μὴ κλάῃς, ΛΥΣΙΣΤΡΑΤΗ ἀκροῶ δή,
*so-that not you-weep listen then*

καὶ τὰς χεῖρας πειρῶ κατέχειν.
*and the hands try to-hold-back*

ΠΡΟΒΟΥΛΟΣ ἀλλ' οὐ δύναμαι· χαλεπὸν γὰρ
*but not I-can hard for*

505 ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν.
*from the anger them to-check*

ΓΥΝΗ Α′ κλαύσει τοίνυν πολὺ μᾶλλον.
*you-will-weep well-then much more*

ΠΡΟΒΟΥΛΟΣ τοῦτο μὲν ὦ γραῦ σαυτῇ κρώξαις·
*this indeed O hag for-yourself may-you-croak*

σὺ δέ μοι λέγε. ΛΥΣΙΣΤΡΑΤΗ ταῦτα ποιήσω.
*you and to-me tell these I-will-do*

ἡμεῖς τὸν μὲν πρότερον πόλεμον
*we the indeed former war*

†καὶ τὸν χρόνον ἠνεσχόμεθα†
*and the time endured*

ὑπὸ σωφροσύνης τῆς ἡμετέρας τῶν ἀνδρῶν ἅττ' ἐποιεῖτε.
*from modesty the our of-the men whatever you-did*

οὐ γὰρ γρύζειν εἰâθ' ἡμâς. καίτοὐκ ἠρέσκετέ γ' ἡμâς.
*not for to-mutter you-let us and-yet-not you-pleased at-least us*

ἀλλ' ᾐσθανόμεσθα καλῶς ὑμῶν, καὶ πολλάκις ἔνδον ἂν οὖσαι
*but we-perceived well you and often inside — being*

ἠκούσαμεν ἄν τι κακῶς ὑμâς βουλευσαμένους μέγα πρâγμα·
*we-would-hear — some badly you having-planned great matter*

εἶτ' ἀλγοῦσαι τἄνδοθεν ὑμâς ἐπανηρόμεθ' ἂν γελάσασαι,
*then grieving the-inside you we-would-ask — having-laughed*

"τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι
*what has-been-planned about the truce on the pillar to-write-beside*

ἐν τῷ δήμῳ τήμερον ὑμῖν;" "τί δὲ σοὶ
*in the people today by-you what and to-you*

ταῦτ';" ἦ δ' ὃς ἂν ἀνήρ.
*these said and he — the-man*

"οὐ σιγήσει;" κἀγὼ ἐσίγων.
*not you-will-be-silent and-I was-silent*

ΓΥΝΗ Β′ ἀλλ' οὐκ ἂν ἐγώ ποτ' ἐσίγων.
*but not — I ever would-have-been-silent*

ΠΡΟΒΟΥΛΟΣ κἂν ὤμωζές γ', εἰ μὴ 'σίγας.
*and-even you-would-have-wailed at-least if not you-were-silent*

ΛΥΣΙΣΤΡΑΤΗ τοιγὰρ ἔγωγ' ἔνδον ἐσίγων.
*therefore I-at-least inside was-silent*

∗∗∗ ἕτερόν τι πονηρότερον βούλευμ' ἐπεπύσμεθ' ἂν ὑμῶν·
*(lacuna) another some worse plan we-would-learn — of-you*

εἶτ' ἠρόμεθ' ἄν· "πῶς ταῦτ' ὦνερ
*then we-would-ask — how these O-husband*

διαπράττεσθ' ὦδ' ἀνοήτως;"
*you-carry-out so senselessly*

ὁ δέ μ' εὐθὺς ὑποβλέψας ἂν ἔφασκ', εἰ μὴ τὸν στήμονα νήσω,
*he and me at-once looking-askance — would-say if not the warp I-spin*

ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν·
*to-wail long the head*

"πόλεμος δ' ἀνδρεσσι μελήσει."
*war and to-men shall-be-a-care*

ΠΡΟΒΟΥΛΟΣ ὀρθῶς γε λέγων νὴ Δί' ἐκεῖνος.
*rightly at-least saying by Zeus he*

ΛΥΣΙΣΤΡΑΤΗ πῶς ὀρθῶς ὦ κακόδαιμον,
*how rightly O ill-starred*

εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι;
*if not-even badly planning it-was-possible for-you to-advise*

ὅτε δὴ δ' ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν ἤδη,
*when indeed and of-you in the streets openly we-heard already*

"οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ;"
*not is-there man in the land*

"μὰ Δί' οὐ δῆτ'," εἶφ' ἕτερός τις·
*by Zeus not then said other someone*

μετὰ ταῦθ' ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν Ἑλλάδα κοινῇ
*after this to-us at-once it-seemed-good to-save — Greece in-common*

ταῖσι γυναιξὶν συλλεχθείσαις. ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι;
*with-the women gathered whither for also ought-we to-wait*

ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ' ἀντακροᾶσθαι
*if then us useful-things speaking you-will-be-willing to-listen-in-turn*

κἀντισιωπᾶθ' ὥσπερ χἡμεῖς, ἐπανορθώσαιμεν ἂν ὑμᾶς.
*and-keep-silent-in-turn as and-we we-would-set-right — you*

ΠΡΟΒΟΥΛΟΣ ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις
*you us terrible at-least you-say*

κοὐ τλητὸν ἔμοιγε. ΛΥΣΙΣΤΡΑΤΗ σιώπα.
*and-not bearable to-me-at-least be-silent*

ΠΡΟΒΟΥΛΟΣ σοί γ᾽ ὦ κατάρατε σιωπῶ ᾽γώ,
*for-you at-least O accursed shall-be-silent I*
καὶ ταῦτα κάλυμμα φορούσῃ
*and this veil wearing*
περὶ τὴν κεφαλήν; μή νυν ζῴην.
*around the head not then may-I-live*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ᾽ εἰ τοῦτ᾽ ἐμπόδιόν σοι,
*but if this hindrance to-you*
παρ᾽ ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν
*from me this-here the veil having-taken*
ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν,
*hold and put-on around the head*
κᾆτα σιώπα
*and-then be-silent*
ΓΥΝΗ Γ′ καὶ τοῦτον τὸν καλαθίσκον.
*and this the little-basket*
ΛΥΣΙΣΤΡΑΤΗ κᾆτα ξαίνειν ξυζωσάμενος
*and-then to-card having-girded-up*
κυάμους τρώγων·
*beans munching*
πόλεμος δὲ γυναιξὶ μελήσει.
*war and to-women shall-be-a-care*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ αἰρώμεθ᾽ ὦ γυναῖκες
*let-us-rise O women*
ἀπὸ τῶν καλπίδων, ὅπως ἂν
*from the pitchers so-that —*
ἐν τῷ μέρει χἠμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.
*in the turn we-too something with-the friends may-help*
ἔγωγε γὰρ ἂν οὔποτε κάμοιμ᾽ ἂν ὀρχουμένη,
*I-at-least for — never would-weary — dancing*

†οὐδὲ τὰ γόνατα κόπος ἕλοι μου καματηρός†·
*nor the knees weariness would-seize of-me wearying*
ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι
*I-am-willing and to everything to-go*
μετὰ τῶνδ' ἀρετῆς ἕνεχ', αἷς
*with these of-virtue for-the-sake in-whom*
ἔνι φύσις, ἔνι χάρις, ἔνι θράσος,
*is nature is grace is boldness*
ἔνι δὲ σοφόν, ἔνι δὲ φιλόπολις
*is and wisdom is and city-loving*
ἀρετὴ φρόνιμος.
*virtue sensible*
ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτων καὶ μητριδίων ἀκαληφῶν,
*but O of-grandmothers most-manly and of-little-mothers nettles*
χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε.
*go-on with-anger and not soften still for now fair-winds you-run*

ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' ἤνπερ ὅ τε γλυκύθυμος
*but if-indeed the and sweet-souled*
Ἔρως χὴ Κυπρογένει' Ἀφροδίτη
*Eros and-the Cyprus-born Aphrodite*
ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ,
*desire our down the bosoms and the thighs breathe-down*
κᾆτ' ἐντήξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμούς,
*and-then melts-in tension delightful in-the men and club-stiffenings*
οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.
*I-think some-day Lysimaches us among the Greeks to-be-called*

ΠΡΟΒΟΥΛΟΣ τί ποιησάσας; ΛΥΣΙΣΤΡΑΤΗ ἢν παύσωμεν
*what having-done if we-stop*

πρώτιστον μὲν ξὺν ὅπλοισιν
*first indeed with arms*

ἀγοράζοντας καὶ μαινομένους.
*shopping and raving*

ΓΥΝΗ Α′ νὴ τὴν Παφίαν Ἀφροδίτην.
*by — Paphian Aphrodite*

ΛΥΣΙΣΤΡΑΤΗ νῦν μὲν γὰρ δὴ κἀν ταῖσι
*now indeed for indeed both-among the*

χύτραις κἀν τοῖς λαχάνοισιν ὁμοίως
*pots and-among the vegetables alike*

περιέρχονται κατὰ τὴν ἀγορὰν
*they-go-around through the market*

ξὺν ὅπλοις ὥσπερ Κορύβαντες.
*with arms like Corybants*

ΠΡΟΒΟΥΛΟΣ νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους.
*by Zeus one-must for the manly*

ΛΥΣΙΣΤΡΑΤΗ καὶ μὴν τό γε πρᾶγμα γέλοιον,
*and truly the at-least thing laughable*

ὅταν ἀσπίδ' ἔχων καὶ Γοργόνα τις
*when shield having and Gorgon someone*

κᾆτ' ὠνῆται κορακίνους.
*and-then buys sprats*

ΓΥΝΗ Β′ νὴ Δί' ἐγὼ γοῦν ἄνδρα κομήτην
*by Zeus I at-least man long-haired*

φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου
*phylarch-being saw on horse*

ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός·
*into the bronze throwing helmet pease-porridge from old-woman*

ἕτερος δ' αὖ Θρᾷξ πέλτην
*another and in-turn Thracian light-shield*
σείων κἀκόντιον ὥσπερ ὁ Τηρεύς,
*shaking and-javelin like — Tereus*
ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν καὶ τὰς δρυπεπεῖς κατέπινεν.
*frightened the fig-seller and the ripe-olives gulped-down*
565 ΠΡΟΒΟΤΛΟΣ πῶς οὖν ὑμεῖς δυναταὶ παῦσαι
*how then you able to-stop*
τεταραγμένα πράγματα πολλὰ
*confused affairs many*
ἐν ταῖς χώραις καὶ διαλῦσαι; ΛΥΣΙΣΤΡΑΤΗ φαύλως πάνυ.
*in the lands and to-loosen easily very*
ΠΡΟΒΟΤΛΟΣ πῶς; ἀπόδειξον.
*how show*
ΛΥΣΙΣΤΡΑΤΗ ὥσπερ κλωστῆρ', ὅταν ἡμῖν
*like skein when to-us*
ᾖ τεταραγμένος, ὧδε λαβοῦσαι,
*it-is tangled so having-taken*
ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις τὸ μὲν ἐνταυθοῖ τὸ δ' ἐκεῖσε,
*putting-under with-the spindles the indeed here the and there*
οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν, ἤν τις ἐάσῃ,
*so also the war this we-will-loosen if someone lets*
570 διενεγκοῦσαι διὰ πρεσβειῶν τὸ μὲν ἐνταυθοῖ τὸ δ' ἐκεῖσε.
*separating through embassies the indeed here the and there*

ΠΡΟΒΟΥΛΟΣ ἐξ ἐρίων δὴ καὶ κλωστήρων
*from wools indeed and skeins*
καὶ ἀτράκτων πράγματα δεινὰ
*and spindles affairs terrible*
παύσειν οἴεσθ᾽ ὦ ἀνόητοι; ΛΥΣΙΣΤΡΑΤΗ κἂν
*to-stop do-you-think O senseless and-even*
ὑμῖν γ᾽ εἴ τις ἐνῆν νοῦς,
*you at-least if any were-in sense*
ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ᾽ ἂν ἅπαντα.
*from the wools the our you-would-govern — all*
ΠΡΟΒΟΥΛΟΣ πῶς δή; φέρ᾽ ἴδω. ΛΥΣΙΣΤΡΑΤΗ πρῶτον μὲν
*how indeed come let-me-see first indeed*
ἐχρῆν, ὥσπερ πόκου ἐν βαλανείῳ
*one-ought like of-fleece in bath*
ἐκπλύναντας τὴν οἰσπώτην, ἐκ τῆς πόλεως ἐπὶ κλίνης
*having-washed-out the grease from the city on bed*
ἐκραβδίζειν τοὺς μοχθηροὺς καὶ τοὺς τριβόλους ἀπολέξαι,
*to-beat-out the scoundrels and the burrs to-pick-out*
καὶ τούς γε συνισταμένους τούτους
*and those at-least banding-together these*
καὶ τοὺς πιλοῦντας ἑαυτούς
*and the felting themselves*
ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι καὶ τὰς κεφαλὰς ἀποτῖλαι·
*for the offices to-card-apart and the heads to-pluck-off*
εἶτα ξαίνειν ἐς καλαθίσκον κοινὴν εὔνοιαν, ἅπαντας
*then to-card into little-basket common goodwill all*
καταμιγνύντας τούς τε μετοίκους κεἴ τις ξένος ἢ φίλος ὑμῖν,
*mixing-in the and metics and-if any stranger or friend to-you*
κεἴ τις ὀφείλει τῷ δημοσίῳ, καὶ τούτους ἐγκαταμεῖξαι·
*and-if any owes to-the public-treasury also these to-mix-in*

καὶ νὴ Δία τάς γε πόλεις, ὁπόσαι
*and by Zeus the at-least cities as-many-as*

τῆς γῆς τῆσδ' εἰσὶν ἄποικοι,
*of-the land this are colonies*

διαγιγνώσκειν ὅτι ταῦθ' ἡμῖν ὥσπερ τὰ κατάγματα κεῖται
*to-distinguish that these for-us like the flocks lie*

χωρὶς ἕκαστον· κᾆτ' ἀπὸ τούτων
*apart each and-then from these*

πάντων τὸ κάταγμα λαβόντας
*all the flock having-taken*

585 δεῦρο ξυνάγειν καὶ συναθροίζειν εἰς ἕν, κἄπειτα ποιῆσαι
*here to-bring-together and to-gather into one and-then to-make*

τολύπην μεγάλην κᾆτ' ἐκ ταύτης
*ball great and-then from this*

τῷ δήμῳ χλαῖναν ὑφῆναι.
*for-the people cloak to-weave*

ΠΡΟΒΟΥΛΟΣ οὔκουν δεινὸν ταυτὶ ταύτας
*not-then terrible these-here these*

ῥαβδίζειν καὶ τολυπεύειν,
*to-beat and to-wind-wool*

αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου;
*to-whom not-even had-share at-all of-the war*

ΛΥΣΙΣΤΡΑΤΗ καὶ μὴν ὦ παγκατάρατε
*and truly O utterly-accursed*

πλεῖν ἤ γε διπλοῦν αὐτὸν φέρομεν,
*more than at-least double it we-bear*

πρώτιστον μέν γε τεκοῦσαι
*first indeed at-least having-borne*

κἀκπέμψασαι παῖδας ὁπλίτας. 590
*and-having-sent-out sons hoplites*

ΠΡΟΒΟΥΛΟΣ σίγα, μὴ μνησικακήσῃς.
*silence not recall-wrongs*

ΛΥΣΙΣΤΡΑΤΗ εἶθ' ἡνίκα χρῆν εὐφρανθῆναι
*then when we-ought to-be-merry*

καὶ τῆς ἥβης ἀπολαῦσαι,
*and of-the youth to-enjoy*

μονοκοιτοῦμεν διὰ τὰς στρατιάς. καὶ θἠμέτερον μὲν ἐᾶτε,
*we-sleep-alone because-of the campaigns and the-our indeed let-be*

περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν ἀνιῶμαι.
*about the and girls in the chambers growing-old I-am-pained*

ΠΡΟΒΟΥΛΟΣ οὔκουν χἄνδρες γηράσκουσιν;
*not-then and-men grow-old*

ΛΥΣΙΣΤΡΑΤΗ μὰ Δί' ἀλλ' οὐκ εἶπας ὅμοιον.
*by Zeus but not you-said like*

ὁ μὲν ἥκων γάρ, κἂν ᾖ πολιός, 595
*the indeed having-come for even-if he-is gray*

ταχὺ παῖδα κόρην γεγάμηκεν·
*quickly girl maiden has-married*

τῆς δὲ γυναικὸς σμικρὸς ὁ καιρός,
*of-the and woman short the season*

κἂν τούτου μὴ 'πιλάβηται,
*and-if this not she-seizes*

οὐδεὶς ἐθέλει γῆμαι ταύτην, ὀττευομένη δὲ κάθηται.
*no-one is-willing to-marry her taking-omens and she-sits*

ΠΡΟΒΟΥΛΟΣ ἀλλ' ὅστις ἔτι στῦσαι δυνατὸς —
*but whoever still to-get-it-up able*

ΛΥΣΙΣΤΡΑΤΗ σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνῄσκεις;
*you and indeed what having-learned not do-you-die*

†χωρίον ἐστί·† σορὸν ὠνήσει·
*place there-is coffin you-will-buy*

μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.
*honey-cake I and indeed will-knead*

λαβὲ ταυτὶ καὶ στεφάνωσαι.
*take these-here and garland-yourself*

ΓΥΝΗ Α′ καὶ ταυτασὶ δέξαι παρ᾽ ἐμοῦ.
*and these-here receive from me*

ΓΥΝΗ Β′ καὶ τουτονγὶ λαβὲ τὸν στέφανον.
*and this-here take the garland*

ΛΥΣΙΣΤΡΑΤΗ τοῦ δεῖ; τί ποθεῖς; χώρει ᾽ς τὴν ναῦν·
*what do-you-need what do-you-want go to the boat*

ὁ Χάρων σε καλεῖ,
*— Charon you calls*

σὺ δὲ κωλύεις ἀνάγεσθαι.
*you and hinder to-set-sail*

## V · THE MAGISTRATE'S EXIT

*The magistrate leaves to show the councilors how he has been treated, and Lysistrata promises him the third-day offerings for the dead.*

ΠΡΟΒΟΥΛΟΣ εἶτ᾽ οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ᾽ ἐμέ;
*then not these terrible-things to-suffer is-it me*

νὴ τὸν Δί᾽ ἀλλὰ τοῖς προβούλοις ἄντικρυς
*by — Zeus but to-the councilors straight*

ἐμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.
*myself I-will-show going as I-am*

ΛΥΣΙΣΤΡΑΤΗ μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προὐθέμεσθά σε;
*surely-not do-you-complain that not we-laid-out you*
ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν σοὶ πρῲ πάνυ
*but on third at-least day for-you early very*
ἥξει παρ' ἡμῶν τὰ τρίτ' ἐπεσκευασμένα.
*will-come from us the third-day-offerings prepared*

## VI · THE CHORUSES STRIP

*The old men scent the tyranny of Hippias and a Spartan plot, and vow to stand armed beside Aristogeiton. The old women answer that they have served the city since childhood and pay their share with sons, while the old men squandered the fund from the Persian Wars. Both choruses strip for battle and trade threats.*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ οὐκέτ' ἔργον ἐγκαθεύδειν ὅστις ἔστ' ἐλεύθερος,
*no-longer task to-sleep-on whoever is free*
ἀλλ' ἐπαποδυώμεθ' ἄνδρες τουτῲ τῷ̀ πράγματι.
*but let-us-strip-for men to-this-here the affair*
ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων
*already for to-smell these-here of-more and greater*
πραγμάτων μοι δοκεῖ,
*affairs to-me it-seems*
καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος·
*and most I-smell of-the of-Hippias tyranny*
καὶ πάνυ δέδοικα μὴ τῶν Λακώνων τινὲς
*and very I-fear lest of-the Laconians some*
δεῦρο συνεληλυθότες ἄνδρες ἐς Κλεισθένους
*here having-gathered men to Cleisthenes's*
τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δόλῳ
*the to-gods hateful women stir-up by-guile*

καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν τόν τε μισθόν,
*to-seize the funds our the and pay*
ἔνθεν ἔζων ἐγώ.
*from-which lived I*
δεινὰ γάρ τοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθετεῖν,
*terrible for surely these at-least already the citizens to-admonish*
καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι,
*and to-chatter women being of-shield bronze about*
καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς,
*and to-reconcile with us with-men Laconian*
οἷσι πιστὸν οὐδὲν εἰ μή περ λύκῳ κεχηνότι.
*in-whom trustworthy nothing if not indeed in-wolf gaping*
ἀλλὰ ταῦθ' ὕφηναν ἡμῖν ἄνδρες ἐπὶ τυραννίδι.
*but these wove for-us men for tyranny*
ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσ', ἐπεὶ φυλάξομαι
*but over-me indeed not they-will-tyrannize since I-will-be-on-guard*
καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτου κλαδί,
*and I-will-carry the sword the in-future in of-myrtle bough*
ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἐξῆς Ἀριστογείτονι,
*I-will-stand-in-the-market and in the arms next-to Aristogeiton*
ὧδέ θ' ἑστήξω παρ' αὐτόν· †αὐτὸς† γάρ μοι γίγνεται
*so and I-will-stand beside him himself for to-me it-becomes*
τῆς θεοῖς ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν γνάθον.
*the to-gods hateful to-strike of-this old-woman the jaw*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ οὐκ ἄρ' εἰσιόντα σ' οἴκαδ' ἡ τεκοῦσα γνώσεται.
*not then going-in you home the mother will-know*
ἀλλὰ θώμεσθ' ὦ φίλαι γρᾶες ταδὶ πρῶτον χαμαί.
*but let-us-set-down O dear old-women these-here first on-the-ground*
ἡμεῖς γὰρ ὦ πάντες ἀστοὶ λόγων κατάρχομεν
*we for O all citizens of-words begin*

τῇ πόλει χρησίμων·
*for-the city useful*
εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με.
*fittingly since luxurious splendidly she-reared me*
ἑπτὰ μὲν ἔτη γεγῶσ' εὐθὺς ἠρρηφόρουν·
*seven indeed years being at-once I-was-arrephoros*
εἶτ' ἀλετρὶς ἦ δεκέτις οὖσα τἀρχηγέτι·
*then grinder I-was ten-years-old being for-the-foundress*
κᾆτ' ἔχουσα τὸν κροκωτὸν ἄρκτος ἦ Βραυρωνίοις·
*and-then having the saffron-robe bear I-was at-Brauronia*
κἀκανηφόρουν ποτ' οὖσα παῖς καλὴ 'χουσ'
*and-I-was-basket-bearer once being girl fair having*
ἰσχάδων ὁρμαθόν·
*of-dried-figs string*
ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;
*— I-owe-first something good to-the city to-advise*
εἰ δ' ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθονεῖτέ μοι,
*if and I woman am-by-nature this not begrudge me*
ἢν ἀμείνω γ' εἰσενέγκω τῶν παρόντων πραγμάτων.
*if better at-least I-contribute than-the present affairs*
τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας ἐσφέρω,
*of-the-levy for to-me there-is-share and for men I-contribute*
τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ' ὑμῖν, ἐπεὶ
*for-the and wretched old-men not there-is-share to-you since*
τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν
*the fund the so-called grandfather's from the Persian-Wars*
εἶτ' ἀναλώσαντες οὐκ ἀντεσφέρετε τὰς ἐσφοράς,
*then having-spent not you-contributed-in-turn the contributions*
ἀλλ' ὑφ' ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν.
*but by you to-be-ruined besides we-risk*

ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί με,
— *to-be-grunted is to-you if and you-will-annoy at-all me*
τῷδέ γ᾽ ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.
*with-this at-least uncurried I-will-strike with-the buskin the jaw*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ταῦτ᾽ οὖν οὐχ ὕβρις τὰ πράγματ᾽ ἐστὶ
*these then not insolence the affairs is*
660 πολλή; κἀπιδώσειν μοι δοκεῖ τὸ χρῆμα μᾶλλον.
*much and-to-increase to-me seems the thing more*
ἀλλ᾽ ἀμυντέον τὸ πρᾶγμ᾽ ὅστις γ᾽ ἐνόρχης ἔστ᾽ ἀνήρ.
*but one-must-ward-off the matter whoever at-least balled is man*
ἀλλὰ τὴν ἐξωμίδ᾽ ἐκδυώμεθ᾽, ὡς τὸν ἄνδρα δεῖ
*but the tunic let-us-strip-off since the man must*
ἀνδρὸς ὄζειν εὐθύς, ἀλλ᾽ οὐκ ἐντεθριῶσθαι πρέπει.
*of-man to-smell at-once but not to-be-wrapped-in-fig-leaves befits*
665 ἀλλ᾽ ἄγετε λευκόποδες, οἵπερ ἐπὶ Λειψύδριον
*but come white-feet who to Leipsydrion*
ἤλθομεν ὅτ᾽ ἦμεν ἔτι,
*we-came when we-were still*
νῦν δεῖ νῦν ἀνηβῆσαι πάλιν κἀναπτερῶσαι
*now must now to-be-young again and-to-wing-up*
670 πᾶν τὸ σῶμα κἀποσείσασθαι τὸ γῆρας τόδε.
*all the body and-to-shake-off the old-age this*
εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν,
*if for will-give someone of-us to-these even small hold*
οὐδὲν ἐλλείψουσιν αὗται λιπαροῦς χειρουργίας,
*nothing will-they-leave-out these of-persistent handiwork*
ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσουσ᾽ ἔτι
*but even ships they-will-build and-will-try still*
675 ναυμαχεῖν καὶ πλεῖν ἐφ᾽ ἡμᾶς, ὥσπερ Ἀρτεμισία.
*to-fight-at-sea and to-sail against us like Artemisia*

ἢν δ' ἐφ' ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱππέας.
*if and to horsemanship they-turn I-strike-off the knights*
ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή,
*most-horsy for is thing and-steady-riding woman*
κοὐκ ἂν ἀπολίσθοι τρέχοντος· τὰς δ' Ἀμαζόνας σκόπει,
*and-not — she-would-slip-off it-running the and Amazons look-at*
ἃς Μίκων ἔγραψ' ἐφ' ἵππων μαχομένας τοῖς ἀνδράσιν.
*whom Micon painted on horses fighting the men*
ἀλλὰ τούτων χρὴν ἁπασῶν ἐς τετρημένον ξύλον
*but of-these one-ought all into pierced wood*
ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.
*to-fit taking this-here the neck*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ εἰ νὴ τὼ θεώ με ζωπυρήσεις,
*if by the two-goddesses me you-kindle*
λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή, καὶ ποιήσω
*I-will-loose the my-own sow I indeed and will-make*
τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμενον.
*today the demesmen to-shout you I being-combed*
ἀλλὰ χἠμεῖς ὦ γυναῖκες θᾶττον ἐκδυώμεθα,
*but we-too O women quicker let-us-strip*
ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.
*so-that — we-may-smell of-women self-biting angered*
νῦν πρὸς ἔμ' ἴτω τις, ἵνα μή ποτε φάγῃ σκόροδα, μηδὲ
*now to me let-come anyone so-that not ever he-eat garlic nor*
κυάμους μέλανας.
*beans black*
ὡς εἰ καὶ μόνον κακῶς ἐρεῖς, ὑπερχολῶ γάρ,
*since if even only badly you-speak I-boil-over for*
αἰετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι.
*eagle bearing beetle you I-will-midwife*

οὐ γὰρ ὑμῶν φροντίσαιμ᾽ ἄν, ἢν ἐμοὶ ζῇ Λαμπιτὼ
*not for for-you I-would-care — if for-me lives Lampito*
ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία.
*the and Theban dear girl well-born Ismenia*
οὐ γὰρ ἔσται δύναμις, οὐδ᾽ ἢν ἑπτάκις σὺ ψηφίσῃ,
*not for there-will-be power not-even if seven-times you vote*
ὅστις ὦ δύστην᾽ ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.
*who O wretch you-became-hated by-all and the neighbors*
700 ὥστε καὐχθὲς θἠκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ
*so-that and-yesterday for-Hecate making festival I*
τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ᾽ ἐκ τῶν γειτόνων,
*for-the children the companion I-invited from the neighbors*
παῖδα χρηστὴν καὐγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν·
*girl good and-lovable from Boeotians eel*
οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα.
*they and to-send not said because-of the your decrees*
κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων τούτων, πρὶν ἂν
*and-not not will-you-cease from-the decrees these until —*
705 τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.
*by-the leg you having-taken someone breaks-the-neck carrying*

*Lysistrata reports that the women are desperate for their husbands and slipping away. One must see to her wool, another her unstripped flax, and a third claims to be in labor and turns out to have the sacred helmet under her dress; she fears the snake, a fourth the owls. Lysistrata reads them an oracle of swallows that promises victory if they hold together.*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος,
*mistress of-deed this and plan*
τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;
*why to-me gloomy have-you-come-out of-the-house*
ΛΥΣΙΣΤΡΑΤΗ κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν
*of-evil women deeds and female mind*
ποιεῖ μ' ἄθυμον περιπατεῖν τ' ἄνω κάτω.
*makes me despondent to-walk and up down*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ τί φῄς; τί φῄς; 710
*what do-you-say what do-you-say*
ΛΥΣΙΣΤΡΑΤΗ ἀληθῆ, ἀληθῆ.
*true true*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ τί δ' ἐστὶ δεινόν; φράζε ταῖς σαυτῆς φίλαις.
*what and is terrible tell to-the your-own friends*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.
*but shameful to-speak and to-keep-silent heavy*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ μή νύν με κρύψῃς ὅ τι πεπόνθαμεν κακόν.
*not now me hide what thing we-have-suffered evil*
ΛΥΣΙΣΤΡΑΤΗ βινητιῶμεν, ᾗ βράχιστον τοῦ λόγου. 715
*we-are-dying-to-fuck as shortest of-the word*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἰὼ Ζεῦ.
*oh Zeus*

ΛΥΣΙΣΤΡΑΤΗ τί Ζῆν' ἀυτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει.
*why Zeus do-you-cry these and then so are*
ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι
*I indeed then them to-keep-off no-longer*
οἵα τ' ἀπὸ τῶν ἀνδρῶν· διαδιδράσκουσι γάρ.
*able — from the men they-are-running-away for*
τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν
*the indeed at-least first clearing-out the hole*
κατέλαβον ᾗ τοῦ Πανός ἐστι ταὐλίον,
*I-caught where — of-Pan is the-grotto*
τὴν δ' ἐκ τροχιλείας αὖ κατειλυσπωμένην,
*the and from pulley in-turn letting-herself-down*
τὴν δ' αὐτομολοῦσαν, τὴν δ' ἐπὶ στρούθου †μίαν†
*the and deserting the and on sparrow one*
ἤδη πέτεσθαι διανοουμένην κάτω
*already to-fly intending down*
ἐς Ὀρσιλόχου χθὲς τῶν τριχῶν κατέσπασα.
*to Orsilochus's yesterday by-the hair I-pulled-down*
πάσας τε προφάσεις ὥστ' ἀπελθεῖν οἴκαδε
*all and excuses so-as to-go-away home*
ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.
*they-drag-in already at-least one of-them comes*
αὕτη σὺ ποῖ θεῖς; ΓΥΝΗ Α′ οἴκαδ' ἐλθεῖν βούλομαι.
*you-there you where do-you-run home to-go I-wish*
οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια
*at-home for are wools to-me Milesian*

ὑπὸ τῶν σέων κατακοπτόμενα. ΛΥΣΙΣΤΡΑΤΗ ποίων σέων; 730
*by the moths being-cut-up what moths*
οὐκ εἶ πάλιν; ΓΥΝΗ Α′ ἀλλ' ἥξω ταχέως νὴ τὼ θεὼ
*not you-go back but I-will-come quickly by the two-goddesses*
ὅσον διαπετάσασ' ἐπὶ τῆς κλίνης μόνον.
*only-so-much having-spread-out on the bed only*
ΛΥΣΙΣΤΡΑΤΗ μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς μηδαμῇ.
*not spread-out nor go-away anywhere*
ΓΥΝΗ Α′ ἀλλ' ἐῶ 'πολέσθαι τἄρι';
*but shall-I-let to-perish the-wools*
ΛΥΣΙΣΤΡΑΤΗ ἢν τούτου δέῃ.
*if of-this it-be-needful*
ΓΥΝΗ Β′ τάλαιν' ἐγώ, τάλαινα τῆς Ἀμοργίδος, 735
*wretched I wretched of-the Amorgan-flax*
ἣν ἄλοπον οἴκοι καταλέλοιφ'. ΛΥΣΙΣΤΡΑΤΗ αὐθητέρα
*which unpeeled at-home I-have-left this-other-one*
ἐπὶ τὴν Ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.
*for the flax the unpeeled comes-out*
χώρει πάλιν δεῦρ'. ΓΥΝΗ Β′ ἀλλὰ νὴ τὴν Φωσφόρον
*go back here but by the Light-bearer*
ἔγωγ' ἀποδείρασ' αὐτίκα μάλ' ἀνέρχομαι.
*I-at-least having-peeled-it at-once very come-back*
ΛΥΣΙΣΤΡΑΤΗ μή μἀποδείρῃς. ἢν γὰρ ἄρξῃς τοῦτο σύ, 740
*not peel since if begin this you*
ἑτέρα γυνὴ ταὐτὸν ποιεῖν βουλήσεται.
*another woman the-same to-do will-wish*
ΓΥΝΗ Γ′ ὦ πότνι' Εἰλείθυι' ἐπίσχες τοῦ τόκου,
*O lady Eileithyia hold-back the birth*
ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.
*until — to unhallowed I-go I place*

ΛΥΣΙΣΤΡΑΤΗ τί ταῦτα ληρεῖς; ΓΥΝΗ Γ′ αὐτίκα μάλα τέξομαι.
*why these-things do-you-babble at-once very I-will-give-birth*

ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' οὐκ ἐκύεις σύ γ' ἐχθές.
*but not were-pregnant you at-least yesterday*

ΓΥΝΗ Γ′ ἀλλὰ τήμερον.
*but today*

ἀλλ' οἴκαδέ μ' ὡς τὴν μαῖαν ὦ Λυσιστράτη
*but home me to the midwife O Lysistrata*

ἀπόπεμψον ὡς τάχιστα. ΛΥΣΙΣΤΡΑΤΗ τίνα λόγον λέγεις;
*send-off as quickly-as-possible what tale do-you-tell*

τί τοῦτ' ἔχεις τὸ σκληρόν; ΓΥΝΗ Γ′ ἄρρεν παιδίον.
*what this you-have the hard male child*

ΛΥΣΙΣΤΡΑΤΗ μὰ τὴν Ἀφροδίτην οὐ σύ γ', ἀλλ' ἢ χαλκίον
*by — Aphrodite not you at-least but — bronze-pot*

ἔχειν τι φαίνει κοῖλον· εἴσομαι δ' ἐγώ.
*to-have something you-seem hollow I-will-know and I*

ὦ καταγέλαστ' ἔχουσα τὴν ἱερὰν κυνῆν
*O ridiculous having the sacred helmet*

κυεῖν ἔφασκες; ΓΥΝΗ Γ′ καὶ κυῶ γε νὴ Δία.
*to-be-pregnant you-said and I-am-pregnant at-least by Zeus*

ΛΥΣΙΣΤΡΑΤΗ τί δῆτα ταύτην εἶχες; ΓΥΝΗ Γ′ ἵνα μ' εἰ καταλάβοι
*why then this did-you-have so-that me if should-catch*

ὁ τόκος ἔτ' ἐν πόλει, τέκοιμ' ἐς τὴν κυνῆν
*the birth still in acropolis I-might-give-birth into the helmet*

ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.
*getting-into this like the doves*

ΛΥΣΙΣΤΡΑΤΗ τί λέγεις; προφασίζει· περιφανῆ τὰ πράγματα.
*what do-you-say you-make-excuses obvious the affairs*

οὐ τἀμφιδρόμια τῆς κυνῆς αὐτοῦ μενεῖς;
*not the-naming-feast of-the helmet here will-you-stay*

ΓΥΝΗ Γ′ ἀλλ᾽ οὐ δύναμαι ᾽γωγ᾽ οὐδὲ κοιμᾶσθ᾽ ἐν πόλει,
*but not I-can I-at-least nor to-sleep in acropolis*
ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε.
*since which the snake I-saw the house-guardian once*
ΓΥΝΗ Δ′ ἐγὼ δ᾽ ὑπὸ τῶν γλαυκῶν γε τάλαιν᾽ ἀπόλλυμαι
*I and by the owls at-least wretched am-perishing*
ταῖς ἀγρυπνίαισι κακκαβαζουσῶν ἀεί.
*with-the sleeplessnesses hooting always*
ΛΥΣΙΣΤΡΑΤΗ ὦ δαιμόνιαι παύσασθε τῶν τερατευμάτων.
*O wretched-ones stop from-the portents*
ποθεῖτ᾽ ἴσως τοὺς ἄνδρας· ἡμᾶς δ᾽ οὐκ οἴει
*you-miss perhaps the men us and not do-you-think*
ποθεῖν ἐκείνους; ἀργαλέας γ᾽ εὖ οἶδ᾽ ὅτι
*to-miss them painful at-least well I-know that*
ἄγουσι νύκτας. ἀλλ᾽ ἀνάσχεσθ᾽ ὦγαθαί,
*they-pass nights but bear-up good-women*
καὶ προσταλαιπωρήσατ᾽ ἔτ᾽ ὀλίγον χρόνον,
*and endure-further still little time*
ὡς χρησμὸς ἡμῖν ἐστιν ἐπικρατεῖν, ἐὰν
*since oracle for-us is to-prevail if*
μὴ στασιάσωμεν· ἔστι δ᾽ ὁ χρησμὸς οὑτοσί.
*not we-quarrel is and the oracle this-here*
ΓΥΝΗ Α′ λέγ᾽ αὐτὸν ἡμῖν ὅ τι λέγει. ΛΥΣΙΣΤΡΑΤΗ σιγᾶτε δή.
*tell it to-us what thing it-says be-silent now*
ἀλλ᾽ ὁπόταν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον,
*but when cower swallows into one place*
τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων,
*the hoopoes fleeing keep-off and from-phalluses*
παῦλα κακῶν ἔσται, τὰ δ᾽ ὑπέρτερα νέρτερα θήσει
*end of-evils will-be the and above below will-set*

Ζεὺς ὑψιβρεμέτης — ΓΥΝΗ Β′ ἐπάνω κατακεισόμεθ' ἡμεῖς;
*Zeus high-thundering on-top shall-lie we*
ΛΥΣΙΣΤΡΑΤΗ ἢν δὲ διαστῶσιν καὶ ἀναπτῶνται πτερύγεσσιν
*if and they-part and fly-up with-wings*
ἐξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει
*from holy temple swallows no-longer will-seem*
ὄρνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι.
*bird not-even anything more-buggered to-be*
ΓΥΝΗ Α′ σαφής γ' ὁ χρησμὸς νὴ Δί'. ΛΥΣΙΣΤΡΑΤΗ ὦ πάντες θεοί,
*plain at-least the oracle by Zeus O all gods*
μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι,
*not now let-us-give-up toiling*
ἀλλ' εἰσίωμεν. καὶ γὰρ αἰσχρὸν τουτογὶ
*but let-us-go-in and for shameful this-here*
ὦ φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.
*O dearest the oracle if we-betray*

## VIII · MELANION AND TIMON

*The old men sing of Melanion, who fled marriage to the mountains in hatred of women; the old women answer with Timon, who hated wicked men but loved women. The two choruses trade insults and threaten kicks.*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ μῦθον βούλομαι λέξαι τιν' ὑμῖν, ὅν ποτ' ἤκουσ'
*story I-wish to-tell some to-you which once I-heard*
αὐτὸς ἔτι παῖς ὤν.
*myself still boy being*
οὕτως ἦν νεανίσκος Μελανίων τις,
*thus there-was youth Melanion one*

ὃς φεύγων γάμον ἀφίκετ' ἐς ἐρημίαν,
*who fleeing marriage came to wilderness*
κἀν τοῖς ὄρεσιν ᾤκει·
*and-in the mountains dwelt*
κᾆτ' ἐλαγοθήρει
*and-then hunted-hares*
πλεξάμενος ἄρκυς,
*having-plaited nets*
καὶ κύνα τιν' εἶχεν,
*and dog some had*
κοὐκέτι κατῆλθε πάλιν οἴκαδ' ὑπὸ μίσους.
*and-no-longer came-down back home from hatred*
οὕτω τὰς γυναῖκας ἐβδελύχθη
*so the women he-loathed*
'κεῖνος, ἡμεῖς τ' οὐδὲν ἧττον
*he we and nothing less*
τοῦ Μελανίωνος οἱ σώφρονες.
*— than-Melanion the sober*

ΓΕΡΩΝ βούλομαί σε γραῦ κύσαι —
*I-wish you old-woman to-kiss*

ΓΥΝΗ κρόμμυόν τἄρ' οὐκ ἔδει.
*onion then not you-shall-eat*

ΓΕΡΩΝ κἀνατείνας λακτίσαι.
*and-raising-my-leg to-kick*

ΓΥΝΗ τὴν λόχμην πολλὴν φορεῖς.
*the thicket much you-carry*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ καὶ Μυρωνίδης γὰρ ἦν
*also Myronides for was*
τραχὺς ἐντεῦθεν μελάμπυγός
*rough from-there black-assed*

τε τοῖς ἐχθροῖς ἅπασιν,
*and to-the enemies all*
ὥς δὲ καὶ Φορμίων.
*so and also Phormio*
805 ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ κἀγὼ βούλομαι μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
*and-I wish story some to-you to-tell-in-return*
τῷ Μελανίωνι.
*— to-Melanion*
Τίμων ἦν ἀἴδρυτός τις ἀβάτοισιν
*Timon was unsettled one in-trackless*
810 ἐν σκώλοισι τὸ πρόσωπον περιειργμένος,
*in thorns the face fenced-around*
Ἐρινύων ἀπορρώξ.
*of-Furies offshoot*
οὗτος οὖν ὁ Τίμων
*this then — Timon*
***
*(lacuna)*
ᾤχεθ' ὑπὸ μίσους
*went-off from hatred*
815 πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
*much having-cursed on-men wicked*
οὕτω 'κεῖνος ὑμῶν ἀντεμίσει
*so he of-you hated-in-return*
τοὺς πονηροὺς ἄνδρας ἀεί,
*the wicked men always*
820 ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.
*to-the and women he-was dearest*
ΓΥΝΗ τὴν γνάθον βούλει θένω;
*the jaw do-you-wish I-should-strike*

ΓΕΡΩΝ μηδαμῶς· †ἔδεισά γε.†
*by-no-means I-was-afraid at-least*

ΓΥΝΗ ἀλλὰ κρούσω τῷ σκέλει;
*but I-will-strike with-the leg*

ΓΕΡΩΝ τὸν σάκανδρον ἐκφανεῖς.
*the man-sack you-will-show*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλ' ὅμως ἂν οὐκ ἴδοις 825
*but nevertheless — not you-would-see*

καίπερ οὖσης γραὸς ὄντ' αὐτὸν
*although being old-woman being it*

κομήτην, ἀλλ' ἀπεψιλωμένον
*hairy but plucked-bare*

τῷ λύχνῳ.
*with-the lamp*

## IX · CINESIAS AND MYRRHINE

*Myrrhine's husband Cinesias arrives desperate, with their baby. She comes down, teases him with promises, fetches a cot, a mat, a pillow, a blanket, and perfume one at a time, then slips away, leaving him in agony. A Spartan herald arrives in the same state and reports that all Sparta is erect, and the two agree to send envoys to make peace.*

ΛΥΣΙΣΤΡΑΤΗ ἰοὺ ἰοὺ γυναῖκες ἴτε δεῦρ' ὡς ἐμὲ
*oh oh women come here to me*

ταχέως. ΓΥΝΗ τί δ' ἔστιν; εἰπέ μοι τίς ἡ βοή; 830
*quickly what and is-it tell me what the shout*

ΛΥΣΙΣΤΡΑΤΗ ἄνδρ' ἄνδρ' ὁρῶ προσιόντα παραπεπληγμένον,
*man man I-see approaching struck-mad*

τοῖς τῆς Ἀφροδίτης ὀργίοις εἰλημμένον.
*by-the — of-Aphrodite rites seized*

ὦ πότνια Κύπρου καὶ Κυθήρων καὶ Πάφου
*O lady of-Cyprus and of-Cythera and of-Paphos*
μεδέουσ', ἴθ' ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν.
*ruling go straight which-indeed you-go the road*
ΓΥΝΗ ποῦ δ' ἐστὶν ὅστις ἐστί; ΛΥΣΙΣΤΡΑΤΗ παρὰ τὸ τῆς Χλόης.
*where and is-he whoever he-is by the of-the Chloe*
ΓΥΝΗ ὦ νὴ Δί' ἔστι δῆτα. τίς κἀστίν ποτε;
*oh by Zeus he-is then who and-is-he ever*
ΛΥΣΙΣΤΡΑΤΗ ὁρᾶτε· γιγνώσκει τις ὑμῶν; ΜΥΡΡΙΝΗ νὴ Δία
*look knows anyone of-you by Zeus*
ἔγωγε· κἀστὶν οὑμὸς ἀνὴρ Κινησίας.
*I-at-least and-it-is the-my husband Cinesias*
ΛΥΣΙΣΤΡΑΤΗ σὸν ἔργον ἤδη τοῦτον ὀπτᾶν καὶ στρέφειν
*your task now this-one to-roast and to-turn*
καὶ ξεπεροπεύειν καὶ φιλεῖν καὶ μὴ φιλεῖν,
*and-to-deceive and to-love and not to-love*
καὶ πάνθ' ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ.
*and all-things to-allow except what knows the cup*
ΜΥΡΡΙΝΗ ἀμέλει ποιήσω ταῦτ' ἐγώ. ΛΥΣΙΣΤΡΑΤΗ καὶ μὴν ἐγὼ
*never-fear I-will-do this I and truly I*
ξυνεπεροπεύσω σοι παραμένουσ' ἐνθαδί,
*will-help-deceive you staying-beside here*
καὶ ξυσταθεύσω τοῦτον. ἀλλ' ἀπέλθετε.
*and will-help-roast this-one but go-away*
ΚΙΝΗΣΙΑΣ οἴμοι κακοδαίμων, οἷος ὁ σπασμός μ' ἔχει
*ah-me ill-starred what the spasm me holds*
χὠ τέτανος ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.
*and-the tension like on wheel being-racked*
ΛΥΣΙΣΤΡΑΤΗ τίς οὗτος οὑντὸς τῶν φυλάκων ἑστώς; ΚΙΝΗΣΙΑΣ ἐγώ.
*who this the-within the guards standing I*

ΛΥΣΙΣΤΡΑΤΗ ἀνήρ; ΚΙΝΗΣΙΑΣ ἀνὴρ δῆτ'.
*man* *man* *then*

ΛΥΣΙΣΤΡΑΤΗ οὐκ ἄπει δῆτ' ἐκποδών;
*not* *you-will-go-away* *then* *out-of-the-way*

ΚΙΝΗΣΙΑΣ σὺ δ' εἶ τίς ἠκβάλλουσά μ'; ΛΥΣΙΣΤΡΑΤΗ ἡμεροσκόπος.
*you* *and* *are* *who* *the-one-casting-out* *me* *day-watcher*

ΚΙΝΗΣΙΑΣ πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυρρίνην.
*by* *the* *gods* *now* *call-out* *for-me* *Myrrhine*

ΛΥΣΙΣΤΡΑΤΗ ἰδοὺ καλέσω 'γὼ Μυρρίνην σοι; σὺ δὲ τίς εἶ;
*look* *shall-I-call* *I* *Myrrhine* *for-you* *you* *and* *who* *are*

ΚΙΝΗΣΙΑΣ ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
*husband* *of-her* *of-Paeonidae* *Cinesias*

ΛΥΣΙΣΤΡΑΤΗ ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομ
*O* *hail* *dearest* *not* *for* *inglorious* *the-name*

τὸ σὸν παρ' ἡμῖν ἐστιν οὐδ' ἀνώνυμον.
*the* *your* *among* *us* *is* *nor* *nameless*

ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
*always* *for* *the* *wife* *you* *has* *in* *mouth*

κἂν ᾠὸν ᾖ μῆλον λάβῃ, "Κινησίᾳ
*and-if* *egg* *or* *apple* *she-takes* *to-Cinesias*

τουτὶ γένοιτο," φησίν. ΚΙΝΗΣΙΑΣ ὦ πρὸς τῶν θεῶν.
*this-here* *may-it-be* *she-says* *oh* *by* *the* *gods*

ΛΥΣΙΣΤΡΑΤΗ νὴ τὴν Ἀφροδίτην· κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
*by* — *Aphrodite* *and-if* *about* *men* *at-least* *falls*

λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνὴ
*talk* *some* *she-has-said* *at-once* *the* *your* *wife*

ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.
*that* *nonsense* *is* *the-rest* *compared-to* *Cinesias*

ΚΙΝΗΣΙΑΣ ἴθι νυν κάλεσον αὐτήν.
*come now call her*

ΛΥΣΙΣΤΡΑΤΗ τί οὖν; δώσεις τί μοι;
*what then will-you-give something to-me*

ΚΙΝΗΣΙΑΣ ἔγωγέ σοι νὴ τὸν Δί', ἢν βούλῃ γε σύ·
*I-at-least to-you by — Zeus if you-wish at-least you*

ἔχω δὲ τοῦθ'· ὅπερ οὖν ἔχω, δίδωμί σοι.
*I-have and this which then I-have I-give you*

ΛΥΣΙΣΤΡΑΤΗ φέρε νυν καλέσω καταβᾶσά σοι.
*come now let-me-call having-gone-down for-you*

ΚΙΝΗΣΙΑΣ ταχύ νυν πάνυ.
*quick now very*

ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν,
*since no I-have at-least in-the life pleasure*

ἐξ οὗπερ αὕτη 'ξῆλθεν ἐκ τῆς οἰκίας·
*since which-indeed she went-out from the house*

ἀλλ' ἄχθομαι μὲν εἰσιών, ἔρημα δὲ
*but I-am-grieved indeed going-in empty and*

εἶναι δοκεῖ μοι πάντα, τοῖς δὲ σιτίοις
*to-be seems to-me all-things to-the and food*

χάριν οὐδεμίαν οἶδ' ἐσθίων· ἔστυκα γάρ.
*pleasure none I-feel eating I-have-a-hard-on for*

ΜΥΡΡΙΝΗ φιλῶ φιλῶ 'γὼ τοῦτον· ἀλλ' οὐ βούλεται
*I-love I-love I this-one but not she-wishes*

ὑπ' ἐμοῦ φιλεῖσθαι. σὺ δ' ἐμὲ τούτῳ μὴ κάλει.
*by me to-be-loved you and me to-this-one not call*

ΚΙΝΗΣΙΑΣ ὦ γλυκύτατον Μυρρινίδιον τί ταῦτα δρᾷς;
*O sweetest little-Myrrhine why these do-you-do*

κατάβηθι δεῦρο. ΜΥΡΡΙΝΗ μὰ Δί' ἐγὼ μὲν αὐτόσ' οὔ.
*come-down here by Zeus I indeed thither not*

ΚΙΝΗΣΙΑΣ ἐμοῦ καλοῦντος οὐ καταβήσει Μυρρίνη;
*me calling not will-you-come-down Myrrhine*

ΜΥΡΡΙΝΗ οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ. 875
*not for needing at-all you-call-out me*

ΚΙΝΗΣΙΑΣ ἐγὼ οὐ δεόμενος; ἐπιτετριμμένος μὲν οὖν.
*I not needing worn-out indeed rather*

ΜΥΡΡΙΝΗ ἄπειμι. ΚΙΝΗΣΙΑΣ μὴ δῆτ', ἀλλὰ τῷ γοῦν παιδίῳ
*I-go-away not then but to-the at-least child*

ὑπάκουσον· οὗτος οὐ καλεῖς τὴν μαμμίαν;
*listen you not will-you-call the mommy*

ΠΑΙΣ ΚΙΝΗΣΙΟΥ μαμμία, μαμμία, μαμμία.
*mommy mommy mommy*

ΚΙΝΗΣΙΑΣ αὕτη τί πάσχεις; οὐδ' ἐλεεῖς τὸ παιδίον 880
*you what do-you-suffer not-even do-you-pity the child*

ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;
*unwashed being and-unsuckled the-sixth day*

ΜΥΡΡΙΝΗ ἔγωγ' ἐλεῶ δῆτ'· ἀλλ' ἀμελὴς αὐτῷ πατὴρ
*I-at-least pity then but careless to-it father*

ἔστιν. ΚΙΝΗΣΙΑΣ κατάβηθ' ὦ δαιμονία τῷ παιδίῳ.
*is come-down O strange-one to-the child*

ΜΥΡΡΙΝΗ οἷον τὸ τεκεῖν· καταβατέον. τί γὰρ πάθω;
*what the to-bear must-come-down what for shall-I-suffer*

ΚΙΝΗΣΙΑΣ ἐμοὶ γὰρ αὕτη καὶ νεωτέρα δοκεῖ 885
*to-me for she even younger seems*

πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν·
*by-much to-have-become and-brighter to-look*

χἀ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται,
*and-what she-is-cross toward me and gives-herself-airs*

ταῦτ' αὐτὰ δή 'σθ' ἃ κἄμ' ἐπιτρίβει τῷ πόθῳ.
*these very indeed are which also-me wear-out with-the longing*

ΜΥΡΡΙΝΗ ὦ γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρός,
*O sweetest you little-child of-bad father*
φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
*come you let-me-kiss sweetest to-the mommy*
ΚΙΝΗΣΙΑΣ τί ὦ πονήρα ταῦτα ποιεῖς χἀτέραις
*why O wicked these do-you-do and-other*
πείθει γυναιξί, κἀμέ τ' ἄχθεσθαι ποιεῖς
*you-obey women and-me and to-be-vexed you-make*
αὐτή τε λυπεῖ; ΜΥΡΡΙΝΗ μὴ πρόσαγε τὴν χεῖρά μοι.
*yourself and you-grieve not bring-near the hand to-me*
ΚΙΝΗΣΙΑΣ τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
*the and inside being mine and yours goods*
χεῖρον διατίθης. ΜΥΡΡΙΝΗ ὀλίγον αὐτῶν μοι μέλει.
*worse you-manage little of-them to-me it-matters*
ΚΙΝΗΣΙΑΣ ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης
*little matters to-you of-the woof being-carried-off*
ὑπὸ τῶν ἀλεκτρυόνων; ΜΥΡΡΙΝΗ ἔμοιγε νὴ Δία.
*by the chickens to-me-at-least by Zeus*
ΚΙΝΗΣΙΑΣ τὰ δὲ τῆς Ἀφροδίτης ἱέρ' ἀνοργίαστά σοι
*the and — of-Aphrodite rites unperformed by-you*
χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν;
*time so-long it-is not will-you-walk back*
ΜΥΡΡΙΝΗ μὰ Δί' οὐκ ἔγωγ', ἢν μὴ διαλλαχθῆτέ γε
*by Zeus not I-at-least if not you-are-reconciled at-least*
καὶ τοῦ πολέμου παύσησθε. ΚΙΝΗΣΙΑΣ τοιγάρ, ἢν δοκῇ,
*and of-the war you-cease therefore if it-seems-good*
ποιήσομεν καὶ ταῦτα. ΜΥΡΡΙΝΗ τοιγάρ, ἢν δοκῇ,
*we-will-do also these therefore if it-seems-good*
κἄγωγ' ἄπειμ' ἐκεῖσε· νῦν δ' ἀπομώμοκα.
*I-too will-go-away thither now and I-have-sworn-off*

ΚΙΝΗΣΙΑΣ σὺ δ' ἀλλὰ κατακλίνηθι μετ' ἐμοῦ διὰ χρόνου.
*you and but lie-down with me after time*

ΜΥΡΡΙΝΗ οὐ δῆτα· καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ. 905
*not then and-yet you not I-will-say at-least that not I-love*

ΚΙΝΗΣΙΑΣ φιλεῖς; τί οὖν οὐ κατεκλίνης ὦ Μύρριον;
*you-love why then not did-you-lie-down O little-Myrrhine*

ΜΥΡΡΙΝΗ ὦ καταγέλαστ' ἐναντίον τοῦ παιδίου;
*O ridiculous in-front-of the child*

ΚΙΝΗΣΙΑΣ μὰ Δί' ἀλλὰ τοῦτό γ' οἴκαδ' ὦ Μανῆ φέρε.
*by Zeus but this at-least home O Manes carry*

ἰδοὺ τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών,
*look the indeed for-you child and indeed out-of-the-way*

σὺ δ' οὐ κατακλίνει. ΜΥΡΡΙΝΗ ποῦ γὰρ ἄν τις καὶ τάλαν 910
*you and not are-lying-down where for — anyone even wretch*

δράσειε τοῦθ'; ΚΙΝΗΣΙΑΣ ὅπου; τὸ τοῦ Πανὸς καλόν.
*do this where the — of-Pan good*

ΜΥΡΡΙΝΗ καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν;
*and how still pure then — could-I-go to acropolis*

ΚΙΝΗΣΙΑΣ κάλλιστα δήπου λουσαμένη τῇ Κλεψύδρᾳ.
*most-finely surely having-bathed in-the Clepsydra*

ΜΥΡΡΙΝΗ ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω τάλαν;
*then having-sworn then shall-I-perjure wretch*

ΚΙΝΗΣΙΑΣ εἰς ἐμὲ τράποιτο· μηδὲν ὅρκου φροντίσῃς. 915
*upon me may-it-turn nothing of-oath care*

ΜΥΡΡΙΝΗ φέρε νυν ἐνέγκω κλινίδιον νῷν. ΚΙΝΗΣΙΑΣ μηδαμῶς.
*come now let-me-bring little-bed for-us-two by-no-means*

ἀρκεῖ χαμαὶ νῷν. ΜΥΡΡΙΝΗ μὰ τὸν Ἀπόλλω μή σ' ἐγὼ
*enough on-the-ground for-us-two by — Apollo not you I*

καίπερ τοιοῦτον ὄντα κατακλινῶ χαμαί.
*although such being will-lay-down on-the-ground*

ΚΙΝΗΣΙΑΣ ἥ τοι γυνὴ φιλεῖ με, δήλη ’στὶν καλῶς.
*the surely wife loves me plain is well*

ΜΥΡΡΙΝΗ ἰδοὺ κατάκεισ’ ἀνύσας τι, κἀγὼ ’κδύομαι.
*look lie-down quickly at-all and-I am-undressing*

καίτοι, τὸ δεῖνα, ψίαθός ἐστ’ ἐξοιστέα.
*and-yet the what-d’you-call-it mat is to-be-brought-out*

ΚΙΝΗΣΙΑΣ ποία ψίαθος; μὴ μοί γε. ΜΥΡΡΙΝΗ νὴ τὴν Ἄρτεμιν,
*what mat not for-me at-least by — Artemis*

αἰσχρὸν γὰρ ἐπὶ τόνου γε. ΚΙΝΗΣΙΑΣ δός μοί νυν κύσαι.
*shameful for on cords at-least give me now to-kiss*

ΜΥΡΡΙΝΗ ἰδού. ΚΙΝΗΣΙΑΣ παπαιάξ· ἦκέ νυν ταχέως πάνυ.
*look wow come now quickly very*

ΜΥΡΡΙΝΗ ἰδοὺ ψίαθος· κατάκεισο, καὶ δὴ ’κδύομαι.
*look mat lie-down and indeed I-am-undressing*

καίτοι, τὸ δεῖνα, προσκεφάλαιον οὐκ ἔχεις.
*and-yet the what-d’you-call-it pillow not you-have*

ΚΙΝΗΣΙΑΣ ἀλλ’ οὐδὲ δέομ’ ἔγωγε. ΜΥΡΡΙΝΗ νὴ Δί’ ἀλλ’ ἐγώ.
*but not-even I-need I-at-least by Zeus but I*

ΚΙΝΗΣΙΑΣ ἀλλ’ ἢ τὸ πέος τόδ’ Ἡρακλῆς ξενίζεται.
*but — the cock this Heracles is-entertained*

ΜΥΡΡΙΝΗ ἀνίστασ’, ἀναπήδησον. ΚΙΝΗΣΙΑΣ ἤδη πάντ’ ἔχω.
*stand-up jump-up already all-things I-have*

ΜΥΡΡΙΝΗ ἅπαντα δῆτα. ΚΙΝΗΣΙΑΣ δεῦρό νυν ὦ χρύσιον.
*all then here now O golden-one*

ΜΥΡΡΙΝΗ τὸ στρόφιον ἤδη λύομαι. μέμνησό νυν·
*the breast-band already I-loose remember now*

μή μ’ ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.
*not me deceive the about the reconciliations*

ΚΙΝΗΣΙΑΣ νὴ Δί’ ἀπολοίμην ἆρα. ΜΥΡΡΙΝΗ σισύραν οὐκ ἔχεις.
*by Zeus may-I-perish — blanket not you-have*

ΚΙΝΗΣΙΑΣ μὰ Δί᾽ οὐδὲ δέομαί γ᾽, ἀλλὰ βινεῖν βούλομαι.
*by Zeus not-even I-need at-least but to-fuck I-wish*

ΜΥΡΡΙΝΗ ἀμέλει ποιήσεις τοῦτο· ταχὺ γὰρ ἔρχομαι.
*never-fear you-will-do this quickly for I-come*

ΚΙΝΗΣΙΑΣ ἄνθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.
*the-woman will-wear-out me because-of the bedclothes*

ΜΥΡΡΙΝΗ ἔπαιρε σαυτόν. ΚΙΝΗΣΙΑΣ ἀλλ᾽ ἐπῆρται τοῦτό γε.
*lift yourself but is-lifted this at-least*

ΜΥΡΡΙΝΗ βούλει μυρίσω σε;
*do-you-wish I-should-perfume you*

ΚΙΝΗΣΙΑΣ μὰ τὸν Ἀπόλλω μὴ μέ γε.
*by — Apollo not me at-least*

ΜΥΡΡΙΝΗ νὴ τὴν Ἀφροδίτην ἤν τε βούλῃ γ᾽ ἤν τε μή.
*by — Aphrodite if both you-wish at-least if and not*

ΚΙΝΗΣΙΑΣ εἴθ᾽ ἐκχυθείη τὸ μύρον ὦ Ζεῦ δέσποτα.
*would-that may-be-poured-out the perfume O Zeus master*

ΜΥΡΡΙΝΗ πρότεινέ νυν τὴν χεῖρα καὶείφου λαβών.
*hold-out now the hand and-anoint having-taken*

ΚΙΝΗΣΙΑΣ οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογί,
*not sweet the perfume by — Apollo this-here*

εἰ μὴ διατριπτικόν γε κοὐκ ὄζον γάμων.
*if not delaying at-least and-not smelling of-weddings*

ΜΥΡΡΙΝΗ τάλαιν᾽ ἐγὼ τὸ Ῥόδιον ἤνεγκον μύρον.
*wretched I the Rhodian I-brought perfume*

ΚΙΝΗΣΙΑΣ ἀγαθόν· ἔα αὖτ᾽ ὦ δαιμονία. ΜΥΡΡΙΝΗ ληρεῖς ἔχων.
*good let it O strange-one you-babble having*

ΚΙΝΗΣΙΑΣ κάκιστ᾽ ἀπόλοιθ᾽ ὁ πρῶτος ἑψήσας μύρον.
*most-vilely may-be-perish the first having-boiled perfume*

ΜΥΡΡΙΝΗ λαβὲ τόνδε τὸν ἀλάβαστον. ΚΙΝΗΣΙΑΣ ἀλλ' ἕτερον ἔχω.
*take this the flask but other I-have*

ἀλλ' ὠζυρὰ κατάκεισο καὶ μή μοι φέρε
*but O-wretched lie-down and not to-me bring*

μηδέν. ΜΥΡΡΙΝΗ ποιήσω ταῦτα νὴ τὴν Ἄρτεμιν.
*nothing I-will-do these by — Artemis*

950 ὑπολύομαι γοῦν. ἀλλ' ὅπως ὦ φίλτατε
*I-take-off-my-shoes at-least but see-that O dearest*

σπονδὰς ποιεῖσθαι ψηφιεῖ. ΚΙΝΗΣΙΑΣ βουλεύσομαι.
*truce to-make you-will-vote I-will-consider*

ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνὴ
*she-has-ruined me and-worn-out the wife*

τά τ' ἄλλα πάντα κἀποδείρασ' οἴχεται.
*the and others all and-having-skinned-me is-gone*

οἴμοι τί πάθω; τίνα βινήσω
*ah-me what shall-I-suffer whom shall-I-fuck*

955 τῆς καλλίστης πασῶν ψευσθείς;
*of-the most-beautiful of-all cheated*

πῶς ταυτηνὶ παιδοτροφήσω;
*how this-here shall-I-nurse*

ποῦ Κυναλώπηξ;
*where Dog-fox*

μίσθωσόν μοι τὴν τίτθην.
*hire for-me the nurse*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἐν δεινῷ γ' ὦ δύστηνε κακῷ
*in terrible at-least O wretched evil*

960 τείρει ψυχὴν ἐξαπατηθείς.
*you-are-worn in-soul deceived*

κἄγωγ' οἰκτίρω σ' αἰαῖ.
*and-I pity you alas*

ποῖος γὰρ ἂν ἢ νέφρος ἀντίσχοι,
*what for — or kidney could-hold-out*
ποία ψυχή, ποῖοι δ' ὄρχεις,
*what soul what and balls*
ποία δ' ὀσφῦς, ποῖος δ' ὄρρος
*what and loin what and rump*
κατατεινόμενος
*being-stretched*
καὶ μὴ βινῶν τοὺς ὄρθρους;
*and not fucking in-the mornings*
ΚΙΝΗΣΙΑΣ ὦ Ζεῦ δεινῶν ἀντισπασμῶν.
*O Zeus of-terrible counter-spasms*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ταυτὶ μέντοι νυνί σ' ἐποίησ'
*this-here however now you she-made*
ἡ παμβδελυρὰ καὶ παμμυσαρά.
*the all-loathsome and all-abominable*
ΚΙΝΗΣΙΑΣ μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκερά.
*by Zeus but dear and all-sweet*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ποία γλυκερά; μιαρὰ μιαρά.
*what sweet foul foul*
ΚΙΝΗΣΙΑΣ μιαρὰ δῆτ' ὦ Ζεῦ ὦ Ζεῦ·
*foul then O Zeus O Zeus*
εἴθ' αὐτὴν ὥσπερ τοὺς θωμοὺς
*would-that her like the heaps*
μεγάλῳ τυφῷ καὶ πρηστῆρι
*with-great whirlwind and hurricane*
ξυστρέψας καὶ ξυγγογγύλας
*having-whirled and having-rolled-up*
οἴχοιο φέρων, εἶτα μεθείης,
*you-might-go carrying then might-let-go*

ἡ δὲ φέροιτ᾽ αὖ πάλιν ἐς τὴν γῆν,
*she and might-be-borne in-turn back to the earth*
κᾆτ᾽ ἐξαίφνης
*and-then suddenly*
περὶ τὴν ψωλὴν περιβαίη.
*around the cock might-land-astride*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ πᾷ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωχία
*where of-the Athenians is the council-of-elders*
ἢ τοὶ πρυτάνιες; λῶ τι μυσίξαι νέον.
*or the prytanes I-want something to-tell new*

ΚΙΝΗΣΙΑΣ σὺ δ᾽ εἶ πότερον ἄνθρωπος ἢ κονίσαλος;
*you and are-you whether man or Conisalus*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ κᾶρυξ ἐγὼν ὦ κυρσάνιε ναὶ τὼ σιὼ
*herald I O lad by the two-gods*
ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.
*I-came from Sparta about the reconciliations*

ΚΙΝΗΣΙΑΣ κἄπειτα δόρυ δῆθ᾽ ὑπὸ μάλης ἥκεις ἔχων;
*and-then spear then under armpit you-come having*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ οὐ τὸν Δί᾽ οὐκ ἐγών γα.
*not — Zeus not I at-least*

ΚΙΝΗΣΙΑΣ ποῖ μεταστρέφει;
*where do-you-turn-away*
τί δὴ προβάλλει τὴν χλαμύδ᾽; ἢ βουβωνιᾷς
*why indeed do-you-hold-forward the cloak or do-you-have-a-swollen-groin*
ὑπὸ τῆς ὁδοῦ;
*from the road*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ παλαιόρ γα ναὶ τὸν Κάστορα
*old-man at-least by — Castor*
ὤνθρωπος. ΚΙΝΗΣΙΑΣ ἀλλ᾽ ἔστυκας ὦ μιαρώτατε.
*the-fellow but you-have-a-hard-on O foulest*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ οὐ τὸν Δί᾽ οὐκ ἐγών γα· μηδ᾽ αὖ πλαδδίη. 990
*not — Zeus not I at-least nor again talk-nonsense*

ΚΙΝΗΣΙΑΣ τί δ᾽ ἐστί σοι τοδί;
*what and is to-you this-here*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ σκυτάλα Λακωνικά.
*staff Laconian*

ΚΙΝΗΣΙΑΣ εἴπερ γε χαὔτη ᾽στὶ σκυτάλη Λακωνική.
*if-indeed at-least and-this is staff Laconian*

ἀλλ᾽ ὡς πρὸς εἰδότ᾽ ἐμὲ σὺ τἀληθῆ λέγε.
*but as to knowing me you the-truth tell*

τί τὰ πράγμαθ᾽ ὑμῖν ἐστι τἀν Λακεδαίμονι;
*what the affairs to-you are the-in Lacedaemon*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ὀρσὰ Λακεδαίμων πᾶα καὶ τοὶ σύμμαχοι 995
*erect Lacedaemon all and the allies*

ἅπαντες ἐστύκαντι· Πελλάνας δὲ δεῖ.
*all have-hard-ons of-Pellana and there-is-need*

ΚΙΝΗΣΙΑΣ ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν;
*from what and this-here the evil on-you fell*

ἀπὸ Πανός; ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ οὔκ, ἀλλ᾽ ἄρχεν οἰῶ Λαμπιτώ,
*from Pan no but began I-think Lampito*

ἔπειτα τἄλλαι ταὶ κατὰ Σπάρταν ἅμα
*then the-other the throughout Sparta at-once*

γυναῖκες ᾗπερ ἀπὸ μιᾶς ὑσπλαγίδος 1000
*women as-if from one starting-line*

ἀπήλασαν τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.
*drove-off the men from the cunts*

ΚΙΝΗΣΙΑΣ πῶς οὖν ἔχετε; ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ μογίομες.
*how then are-you* *we-suffer*

ἂν γὰρ τὰν πόλιν
*up-and-down for the city*

ᾥπερ λυχνοφορίοντες ἐπικεκύφαμες.
*like lamp-carrying we-are-bent-over*

ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω σιγεῖν
*the for women not-even the myrtle to-touch*

ἐῶντι, πρίν γ' ἅπαντες ἐξ ἑνὸς λόγω
*allow before at-least all from one word*

σπονδὰς ποιησώμεσθα ποττὰν Ἑλλάδα.
*truce we-make with-the Greece*

ΚΙΝΗΣΙΑΣ τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
*this-here the matter from-all-sides has-been-conspired*

ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω.
*by the women just-now now I-learn*

ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
*but as quickly-as-possible tell about reconciliations*

αὐτοκράτορας πρέσβεις ἀποπέμπειν ἐνθαδί.
*plenipotentiary envoys to-send here*

ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
*I and others from-here to-the council will-tell*

πρέσβεις ἑλέσθαι τὸ πέος ἐπιδείξας τοδί.
*envoys to-choose the cock having-shown this-here*

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ποτάομαι· κράτιστα γὰρ παντᾷ λέγεις.
*I-fly best for in-every-way you-speak*

*The women's leader puts the old men's leader back into his tunic and pulls a gnat from his eye, and the two choruses make peace and join as one.*

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
*nothing is beast than-woman more-invincible*
οὐδὲ πῦρ, οὐδ' ὦδ' ἀναιδὴς οὐδεμία πόρδαλις. 1015
*nor fire nor so shameless any panther*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ταῦτα μέντοι σὺ ξυνιεὶς εἶτα πολεμεῖς ἐμοί,
*this however you understanding then you-war with-me*
ἐξὸν ὦ πόνηρε σοὶ βέβαιον ἔμ' ἔχειν φίλην;
*it-being-possible O wretch for-you firm me to-have friend*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.
*since I hating women never will-cease*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλ' ὅταν βούλῃ σύ· νῦν δ' οὖν
*but when you-wish you now and then*
οὔ σε περιόψομαι
*not you I-will-overlook*
γυμνὸν ὄνθ' οὕτως. ὁρῶ γὰρ ὡς καταγέλαστος εἶ. 1020
*naked being so I-see for how ridiculous you-are*
ἀλλὰ τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.
*but the tunic I-will-put-on you approaching I*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τοῦτο μὲν μὰ τὸν Δί' οὐ πονηρὸν ἐποιήσατε·
*this indeed by — Zeus not bad you-did*
ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν ἐγώ.
*but from anger for wicked also then took-off I*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ πρῶτα μὲν φαίνει γ᾽ ἀνήρ,
*first indeed you-look at-least man*
εἶτ᾽ οὐ καταγέλαστος εἶ.
*then not ridiculous you-are*
κεἴ με μὴ ᾽λύπεις, ἐγώ σου κἂν τόδε τὸ θηρίον
*and-if me not you-had-annoyed I of-you even this the beast*
τοὐπὶ τὠφθαλμῷ λαβοῦσ᾽ ἐξεῖλον ἂν ὃ νῦν ἔνι.
*the-in the-eye taking would-have-taken-out — which now is-in*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ τοῦτ᾽ ἄρ᾽ ἦν με τοὐπιτρῖβον, δακτύλιος οὑτοσί·
*this then was me the-wearing-out ring this-here*
ἐκσκάλευσον αὐτό, κᾆτα δεῖξον ἀφελοῦσά μοι·
*dig-out it and-then show having-removed to-me*
ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι δάκνει.
*since the eye at-least of-me by — Zeus long-since bites*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς ἀνήρ.
*but I-will-do these and-yet peevish you-are man*
ἦ μέγ᾽ ὦ Ζεῦ χρῆμ᾽ ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι.
*truly great O Zeus thing to-see of-the gnat is-in you*
οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;
*not do-you-see not gnat is this of-Tricorythus*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ νὴ Δί᾽ ὤνησάς γέ μ᾽,
*by Zeus you-helped at-least me*
ὡς πάλαι γέ μ᾽ ἐφρεωρύχει,
*since long-since at-least me it-was-well-digging*
ὥστ᾽ ἐπειδὴ ᾽ξηρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.
*so-that now-that it-was-taken-out flows of-me the tear much*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἀλλ᾽ ἀποψήσω σ᾽ ἐγώ,
*but I-will-wipe you I*
καίτοι πάνυ πονηρὸς εἶ,
*and-yet very wicked you-are*
καὶ φιλήσω. ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ μὴ φιλήσῃς.
*and I-will-kiss not kiss*
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ἤν τε βούλῃ γ᾽ ἤν τε μή.
*if both you-wish at-least if and not*
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ἀλλὰ μὴ ὥρασ᾽ ἴκοισθ᾽·
*but not to-good-season may-you-come*
ὡς ἐστὲ θωπικαὶ φύσει,
*since you-are coaxing by-nature*
κἄστ᾽ ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον,
*and-is that the-saying rightly and-not badly spoken*
οὔτε σὺν πανωλέθροισιν οὔτ᾽ ἄνευ πανωλέθρων.
*neither with utter-pests nor without utter-pests*
ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τὸ λοιπὸν οὐκέτι
*but now I-make-truce with-you and the in-future no-longer*
οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ᾽ ὑφ᾽ ὑμῶν πείσομαι.
*neither shall-I-do bad anything nor by you shall-I-suffer*
ἀλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα.
*but in-common having-joined of-the song let-us-begin*

*The united chorus offers loans and dinners it will not deliver. Spartan and Athenian envoys arrive in desperate condition. Lysistrata brings out Reconciliation, reminds each side of the help the other gave it, and settles their claims on Pylos, Echinus, and the Megarian legs. They agree to go in and feast, and the chorus offers its goods to all comers, with the same catch.*

ΧΟΡΟΣ οὐ παρασκευαζόμεσθα
*not we-prepare*
τῶν πολιτῶν οὐδέν᾽ ὦνδρες
*of-the citizens anyone O-men*
φλαῦρον εἰπεῖν οὐδὲ ἕν.
*bad to-say not-even one*
ἀλλὰ πολὺ τοὔμπαλιν πάντ᾽ ἀγαθὰ καὶ λέγειν
*but much on-the-contrary all good both to-say*
καὶ δρᾶν· ἱκανὰ γὰρ τὰ κακὰ καὶ τὰ παρακείμενα.
*and to-do enough for the evils and the lying-at-hand*
ἀλλ᾽ ἐπαγγελλέτω πᾶς ἀνὴρ καὶ γυνή,
*but let-announce every man and woman*
εἴ τις ἀργυρίδιον δεῖται
*if anyone a-little-money needs*
λαβεῖν μνᾶς ἢ δύ᾽ ἢ τρεῖς,
*to-take minas or two or three*
ὡς †πόλλ᾽ ἔσω ᾽στὶν†
*since many-things inside are*
κἄχομεν βαλλάντια.
*and-we-have purses*
κἄν ποτ᾽ εἰρήνη φανῇ,
*and-if ever peace appears*

ὅστις ἂν νυνὶ δανείσηται
*whoever — now borrows*
παρ᾽ ἡμῶν,
*from us*
ἂν λάβῃ μηκέτ᾽ ἀποδῷ.
*what he-takes no-longer let-him-pay-back*
ἑστιᾶν δὲ μέλλομεν ξένους
*to-entertain and we-are-about guests*
τινὰς Καρυστίους, ἄν-
*some Carystians men*
δρας καλούς τε κἀγαθούς.
*— fine both and-good*
κἄστιν ἔτ᾽ ἔτνος τι· καὶ δελφάκιον ἦν τί μοι,
*and-there-is still soup some and piglet was some for-me*
καὶ τοῦτο τέθυχ᾽, ὡς τὰ κρέ᾽ ἔδεσθ᾽ ἁπαλὰ καὶ καλά.
*and this I-have-sacrificed so-that the meats you-will-eat tender and fine*
ἥκετ᾽ οὖν εἰς ἐμοῦ τήμερον· πρῲ δὲ χρὴ
*come then to my-house today early and one-must*
τοῦτο δρᾶν λελουμένους αὖ-
*this to-do having-bathed yourselves*
τούς τε καὶ τὰ παιδί᾽, εἶτ᾽ εἴσω βαδίζειν,
*— both and the children then inside to-walk*
μηδ᾽ ἐρέσθαι μηδένα,
*nor to-ask anyone*
ἀλλὰ χωρεῖν ἄντικρυς
*but to-go straight-in*
ὥσπερ οἴκαδ᾽ εἰς ἑαυτῶν
*as home to your-own*
γεννικῶς, ὡς
*nobly since*

ἡ θύρα κεκλῄσεται.
*the door will-be-shut*

καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἰδὶ πρέσβεις ἕλκοντες ὑπήνας
*and truly from — Sparta these-here envoys trailing beards*

χωροῦσ', ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.
*come as-if pig-pen around the thighs having*

ἄνδρες Λάκωνες πρῶτα μέν μοι χαίρετε,
*men Laconians first indeed to-me hail*

εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.
*then tell us how being you-come*

ΛΑΚΩΝ τί δεῖ ποθ' ὑμὲ πολλὰ μυσίδδειν ἔπη;
*what need to you many to-say words*

ὁρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἵκομες.
*to-see for it-is-possible how being we-have-come*

ΧΟΡΟΣ βαβαί· νενεύρωται μὲν ἥδε συμφορὰ
*wow is-strained indeed this calamity*

δεινῶς, †τεθερμῶσθαί γε† χεῖρον φαίνεται.
*terribly to-be-heated at-least worse it-appears*

ΛΑΚΩΝ ἄφατα. τί κα λέγοι τις; ἀλλ' ὅπᾳ σέλει
*unspeakable what — would-say one but however he-wishes*

παντᾷ τις ἐλσὼν ἁμὶν εἰράναν σέτω.
*in-every-way someone coming to-us peace let-him-make*

ΧΟΡΟΣ καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας
*and truly I-see also these the natives*

ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
*like wrestlers men from the bellies*

θαἰμάτι' ἀποστέλλοντας· ὥστε φαίνεται
*the-cloaks holding-off so-that appears*

ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.
*athletic the thing of-the disease*

ΑΘΗΝΑΙΟΣ τίς ἂν φράσειε ποῦ ’στιν ἡ Λυσιστράτη;
*who — would-tell where is — Lysistrata*

ὡς ἄνδρες ἡμεῖς οὑτοὶ τοιουτοί.
*since men we these-here such-here*

ΧΟΡΟΣ χαὔτη ξυνᾴδει χἠτέρα ταύτῃ νόσῳ.
*and-this sings-along and-the-other this disease*

ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;
*truly perhaps toward dawn spasm you takes*

ΑΘΗΝΑΙΟΣ μὰ Δί’ ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
*by Zeus but these-here doing we-are-worn-out*

ὥστ’ εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ,
*so-that if someone us not will-reconcile quickly*

οὐκ ἔσθ’ ὅπως οὐ Κλεισθένη βινήσομεν.
*not it-is how not Cleisthenes we-will-fuck*

ΧΟΡΟΣ εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ’, ὅπως
*if you-are-sensible the-cloaks you-will-take so-that*

τῶν Ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.
*of-the Herm-choppers not anyone you will-see*

ΑΘΗΝΑΙΟΣ νὴ τὸν Δί’ εὖ μέντοι λέγεις. ΛΑΚΩΝ ναὶ τὼ σιὼ
*by — Zeus well however you-say by the two-gods*

παντᾷ γα. φέρε τὸ ἔσθος ἀμβαλώμεθα.
*in-every-way at-least come the garment let-us-throw-on*

ΑΘΗΝΑΙΟΣ ὦ χαίρετ’ ὦ Λάκωνες· αἰσχρά γ’ ἐπάθομεν.
*oh hail O Laconians shameful-things at-least we-suffered*

ΛΑΚΩΝ ὦ Πολυχαρείδα δεινά κ’ αὖ ’πεπόνθεμες,
*O Polycharides terrible-things — in-turn we-have-suffered*

αἰ εἶδον ἁμὲ τῶνδρες ἀμπεφλασμένως.
*if saw us the-men erect*

ΑΘΗΝΑΙΟΣ ἄγε δὴ Λάκωνες αὖθ' ἕκαστα χρὴ λέγειν.
*come now Laconians them each one-must to-say*
ἐπὶ τί πάρεστε δεῦρο; ΛΑΚΩΝ περὶ διαλλαγᾶν
*for what are-you-present here about reconciliations*
πρέσβεις. ΑΘΗΝΑΙΟΣ καλῶς δὴ λέγετε· χἠμεῖς τουτογί.
*envoys well indeed you-say and-we this-here*
τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,
*why not do-we-call then — Lysistrata*
ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;
*who-indeed would-reconcile us — alone*
ΛΑΚΩΝ ναὶ τὼ σιὼ κἂν λῆτε τὸν Λυσίστρατον.
*by the two-gods and-if you-wish — Lysistratus*
ΑΘΗΝΑΙΟΣ ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν·
*but not-at-all us as it-seems need to-call*
αὐτὴ γάρ, ὡς ἤκουσεν, ἥδ' ἐξέρχεται.
*herself for as she-heard this comes-out*
ΧΟΡΟΣ χαῖρ' ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δὴ νυνί σε γενέσθαι
*hail O of-all most-manly must indeed now you to-become*
δεινὴν δειλὴν ἀγαθὴν φαύλην σεμνὴν ἀγανὴν πολύπειρον·
*terrible timid good bad haughty gentle much-experienced*
ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι
*since the first of-the Greeks by-the your caught wryneck-charm*
συνεχώρησάν σοι καὶ κοινῇ τἀγκλήματα πάντ' ἐπέτρεψαν.
*have-yielded to-you and in-common the-charges all entrusted*
ΛΥΣΙΣΤΡΑΤΗ ἀλλ' οὐχὶ χαλεπὸν τοὔργον, εἰ λάβοι γέ τις
*but not hard the-task if should-catch at-least one*
ὀργῶντας ἀλλήλων τε μὴ 'κπειρωμένους.
*swelling one-another and not making-trial-of*
τάχα δ' εἴσομαι 'γώ. ποῦ 'στιν ἡ Διαλλαγή;
*quickly and shall-know I where is — Reconciliation*

πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς,
*bring-forward having-taken first the Laconians*
καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ' αὐθαδικῇ,
*and not with-rough the hand nor with-willful*
μηδ' ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ' ἔδρων,
*nor as our men stupidly this did*
ἀλλ' ὡς γυναῖκας εἰκός, οἰκείως πάνυ,
*but as women fitting domestically very*
ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
*if not he-gives the hand by-the cock lead*
ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε,
*go also you these the Athenians lead*
οὗ δ' ἂν διδῶσι πρόσαγε τούτους λαβομένη.
*where and — they-give bring-forward these taking-hold*
ἄνδρες Λάκωνες στῆτε παρ' ἐμὲ πλησίον,
*men Laconians stand by me near*
ἐνθένδε δ' ὑμεῖς, καὶ λόγων ἀκούσατε.
*from-here and you also words hear*
ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι,
*I woman indeed am mind and is-in me*
αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω,
*myself and of-my-own not badly judgment I-have*
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
*the and from father both and elders words*
πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.
*many having-heard not I-am-educated badly*
λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι
*taking and you to-rebuke I-wish*
κοινῇ δικαίως, οἳ μιᾶς ἐκ χέρνιβος
*in-common justly who one from lustral-bowl*

βωμοὺς περιρραίνοντες ὥσπερ ξυγγενεῖς
*altars sprinkling like kinsmen*
Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ "πόσους
*at-Olympia at Thermopylae at-Pytho how-many*
εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι;"
*I-could-name — others if me to-lengthen it-were-needful*
ἐχθρῶν παρόντων βαρβάρων στρατεύματι
*enemies being-present barbarians with-army*
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.
*Greek men and cities you-destroy*
εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.
*one indeed word to-me here always is-completed*
ΑΘΗΝΑΙΟΣ ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.
*I and am-perishing at-least skinned-back*
ΛΥΣΙΣΤΡΑΤΗ εἶτ' ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι,
*then O Laconians to for you I-will-turn*
οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ
*not you-know when coming here Pericleidas once*
ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
*the Laconian of-Athenians suppliant sat*
ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι
*at the altars pale in crimson-cloak*
στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε
*army begging the and Messene then*
ὑμῖν ἐπέκειτο χὠ θεὸς σείων ἅμα.
*on-you pressed and-the god shaking at-once*
ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
*coming and with hoplites four-thousand*
Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.
*Cimon whole saved — Lacedaemon*

ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
*these-here having-suffered the Athenians from*
δῃοῦτε χώραν, ἧς ὑπ' εὖ πεπόνθατε;
*you-ravage land which by well you-have-been-treated*
ΑΘΗΝΑΙΟΣ ἀδικοῦσιν οὗτοι νὴ Δί' ὦ Λυσιστράτη.
*they-do-wrong these by Zeus O Lysistrata*
ΛΑΚΩΝ ἀδικίομες· ἀλλ' ὁ πρωκτὸς ἄφατον ὡς καλός.
*we-do-wrong but the ass unspeakably how fine*
ΛΥΣΙΣΤΡΑΤΗ ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους μ' οἴει;
*you and to-let-off the Athenians me do-you-think*
οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
*not you-know when you the Laconians again in-turn*
κατωνάκας φοροῦντας ἐλθόντες δορὶ
*sheepskins wearing coming with-spear*
πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
*many indeed men of-Thessalians destroyed*
πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους,
*many and comrades of-Hippias and allies*
ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι,
*fighting-with-you on-the then day alone*
κἠλευθέρωσαν κἀντὶ τῆς κατωνάκης
*and-freed and-instead-of the sheepskin*
τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπέσχον πάλιν;
*the people your cloak they-clothed again*
ΛΑΚΩΝ οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.
*never woman I-saw nobler*
ΑΘΗΝΑΙΟΣ ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.
*I and cunt at-least never-yet more-beautiful*

ΛΥΣΙΣΤΡΑΤΗ τί δῆθ' ὑπηργμένων γε πολλῶν κἀγαθῶν
*why then having-been-done at-least many and-good-things*
μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας;
*do-you-fight and-not cease from-the wickedness*
τί δ' οὐ διηλλάγητε; φέρε τί τοὐμποδών;
*why and not were-you-reconciled come what the-obstacle*
ΛΑΚΩΝ ἁμές γε λῶμες, αἴ τις ἁμὶν τὤγκυκλον
*we at-least are-willing if one to-us the-round*
λῇ τοῦτ' ἀποδόμεν.
*wishes this to-give-back*
ΛΥΣΙΣΤΡΑΤΗ ποῖον ὦ τᾶν; ΛΑΚΩΝ τὰν Πύλον,
*what O my-friend — Pylos*
ἅσπερ πάλαι δεόμεθα καὶ βλιμάττομες.
*which-indeed long-since we-want and feel-up*
ΑΘΗΝΑΙΟΣ μὰ τὸν Ποσειδῶ τοῦτο μέν γ' οὐ δράσετε.
*by — Poseidon this indeed at-least not you-will-do*
ΛΥΣΙΣΤΡΑΤΗ ἄφετ' ὦγάθ' αὐτοῖς. ΑΘΗΝΑΙΟΣ κᾆτα τίνα κινήσομεν;
*let-go good-sir to-them and-then what shall-we-move*
ΛΥΣΙΣΤΡΑΤΗ ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.
*another at-least demand in-return-for this place*
ΑΘΗΝΑΙΟΣ τὸ δεῖνα τοίνυν παράδοθ' ἡμῖν τουτονὶ
*the what-d'you-call-it well-then hand-over to-us this-here*
πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ
*first — Echinus and the Malian*
κόλπον τὸν ὄπισθεν καὶ τὰ Μεγαρικὰ σκέλη.
*gulf the behind and the Megarian legs*
ΛΑΚΩΝ οὐ τὼ σιὼ οὐχὶ πάντα γ' ὦ λισσάνιε.
*not by-the two-gods not all at-least O smooth-one*
ΛΥΣΙΣΤΡΑΤΗ ἐᾶτε, μηδὲν διαφέρου περὶ σκελοῖν.
*let-be not-at-all quarrel about legs*

ΑΘΗΝΑΙΟΣ ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.
*already to-farm naked having-stripped I-wish*

ΛΑΚΩΝ ἐγὼ δὲ κοπραγωγεῖν γα †πρῶτα† ναὶ τὼ σιώ.
*I and to-cart-dung at-least first by the two-gods*

ΛΥΣΙΣΤΡΑΤΗ ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε. 1175
*when you-are-reconciled these you-will-do*

ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε καὶ
*but if it-seems-good to-do these deliberate and*

τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.
*with-the allies going share*

ΑΘΗΝΑΙΟΣ ποίοισιν ὦ τᾶν ξυμμάχοις; ἐστύκαμεν.
*what O my-friend allies we-have-hard-ons*

οὐ ταὐτὰ δόξει τοῖσι συμμάχοισι νῷν
*not the-same will-seem to-the allies to-us-two*

βινεῖν ἅπασιν; ΛΑΚΩΝ τοῖσι γῶν ναὶ τὼ σιὼ 1180
*to-fuck to-all to-the at-least by the two-gods*

ἁμοῖσι. ΑΘΗΝΑΙΟΣ καὶ γὰρ ναὶ μὰ Δία Καρυστίοις.
*to-ours and for yes by Zeus to-Carystians*

ΛΥΣΙΣΤΡΑΤΗ καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε,
*well you-say now then see-that you-keep-pure*

ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
*so-that — the women you in acropolis*

ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
*may-entertain from-what in the boxes we-had*

ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε. 1185
*oaths and there and pledge to-one-another give*

κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
*and-then the his-own wife of-you having-taken*

ἄπεισ' ἕκαστος. ΑΘΗΝΑΙΟΣ ἀλλ' ἴωμεν ὡς τάχος.
*will-go-off each but let-us-go as quickly*

ΛΑΚΩΝ ἄγ᾽ ὅπᾳ τυ λῇς.
*lead where you you-wish*

ΑΘΗΝΑΙΟΣ νὴ τὸν Δί᾽ ὡς τάχιστ᾽ ἄγε.
*by — Zeus as quickly-as-possible lead*

ΧΟΡΟΣ στρωμάτων δὲ ποικίλων καὶ
*of-coverlets and embroidered and*

χλανιδίων καὶ ξυστίδων καὶ
*of-little-cloaks and robes and*

χρυσίων, ὅσ᾽ ἐστί μοι,
*of-gold-things as-many-as are to-me*

οὐ φθόνος ἔνεστί μοι πᾶσι παρέχειν φέρειν
*not grudging is-in me to-all to-provide to-carry*

τοῖς παισίν, ὁπόταν τε θυγάτηρ τινὶ κανηφορῇ.
*to-the children when and daughter for-someone is-basket-bearer*

πᾶσιν ὑμῖν λέγω λαμβάνειν τῶν ἐμῶν
*to-all you I-say to-take from-the my*

χρημάτων νῦν ἔνδοθεν, καὶ
*goods now from-inside and*

μηδὲν οὕτως εὖ σεσημάν-
*nothing so well sealed*

θαι τὸ μὴ οὐχὶ
*— the not not*

τοὺς ῥύπους ἀνασπάσαι,
*the seals to-pull-off*

χἄττ᾽ ἂν ἔνδον ᾖ φορεῖν.
*and-whatever — inside is to-carry*

ὄψεται δ᾽ οὐδὲν σκοπῶν, εἰ
*will-see and nothing looking if*

μή τις ὑμῶν
*not anyone of-you*

ὀξύτερον ἐμοῦ βλέπει.
*sharper than-me sees*
εἰ δέ τῳ μὴ σῖτος ὑμῶν
*if and to-anyone not grain of-you*
ἔστι, βόσκει δ' οἰκέτας καὶ
*is he-feeds and servants and*
σμικρὰ πολλὰ παιδία,
*small many children*
ἔστι παρ' ἐμοῦ λαβεῖν πυρίδια λεπτὰ μέν,
*it-is from me to-take little-wheat fine indeed*
ὁ δ' ἄρτος ἀπὸ χοίνικος ἰδεῖν μάλα νεανίας.
*the and loaf from quart to-look-at very youthful*
ὅστις οὖν βούλεται τῶν πενήτων ἴτω
*whoever then wishes of-the poor let-him-come*
εἰς ἐμοῦ σάκκους ἔχων καὶ
*to my-house sacks having and*
κωρύκους, ὡς λήψεται πυ-
*bags since he-will-get wheat*
ρούς· ὁ Μανῆς δ'
*— the Manes and*
οὑμὸς αὐτοῖς ἐμβαλεῖ.
*the-my for-them will-put-in*
πρός γε μέντοι τὴν θύραν
*toward at-least however the door*
προαγορεύω μὴ βαδίζειν
*I-warn not to-walk*
τὴν ἐμήν, ἀλλ'
*the my but*
εὐλαβεῖσθαι τὴν κύνα.
*to-beware-of the dog*

*After the feast the Athenians and Spartans come out friends, praising the wine that made them agreeable. A Spartan sings of Artemisium and Thermopylae, an Athenian gives each man back his wife, and the choruses dance and sing hymns to the gods, to Athena of the Bronze House, and to Sparta.*

ΑΘΗΝΑΙΟΣ Α′ ἄνοιγε τὴν θύραν· παραχωρεῖν οὐ θέλεις;
*open the door to-give-way not you-wish*

ὑμεῖς τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
*you why do-you-sit surely-not I with-the torch*

ὑμᾶς κατακαύσω; φορτικὸν τὸ χωρίον.
*you shall-burn vulgar the bit*

οὐκ ἂν ποιήσαιμ᾽. εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
*not — I-would-do-it if and very must this to-do*

ὑμῖν χαρίσασθαι, προσταλαιπωρήσομεν.
*for-you to-please we-shall-endure-besides*

ΑΘΗΝΑΙΟΣ Β′ χἠμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.
*and-we at-least with you will-endure-together*

ΑΘΗΝΑΙΟΣ Α′ οὐκ ἄπιτε; κωκύσεσθε τὰς τρίχας μακρά.
*not will-you-go-away you-will-wail the hair long*

οὐκ ἄπιθ᾽, ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν
*not will-you-go-away so-that — the Laconians from-inside*

καθ᾽ ἡσυχίαν ἀπίωσιν εὐωχημένοι;
*in quiet may-go-away having-feasted*

ΑΘΗΝΑΙΟΣ Β′ οὔπω τοιοῦτον συμπόσιον ὄπωπ᾽ ἐγώ.
*never-yet such drinking-party saw I*

ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
*truly and charming were the Laconians*

ἡμεῖς δ᾽ ἐν οἴνῳ συμπόται σοφώτατοι.
*we and in wine drinking-companions wisest*

ΑΘΗΝΑΙΟΣ Α′ ὀρθῶς γ', ὅτιὴ νήφοντες οὐχ ὑγιαίνομεν·
*rightly at-least because sober not we-are-sane*
ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
*if the Athenians I persuade speaking*
μεθύοντες ἀεὶ πανταχοῖ πρεσβεύσομεν. 1230
*drunk always everywhere we-shall-go-on-embassies*
νῦν μὲν γὰρ ὅταν ἔλθωμεν ἐς Λακεδαίμονα
*now indeed for when we-come to Lacedaemon*
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν·
*sober at-once we-look-for what thing we-shall-confound*
ὥσθ' ὅ τι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν,
*so-that what thing indeed — they-say not we-hear*
ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν,
*what and not they-say these we-suspect*
ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν πέρι. 1235
*we-report and not the-same-things of-the same about*
νυνὶ δ' ἅπαντ' ἤρεσκεν· ὥστ' εἰ μέν γέ τις
*now and everything pleased so-that if indeed at-least someone*
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον,
*sang of-Telamon of-Cleitagora to-sing being-needed*
ἐπῃνέσαμεν ἂν καὶ προσεπιωρκήσαμεν.
*we-would-have-praised — and perjured-besides*
ἀλλ' οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
*but these-here for again come back*
ἐς ταὐτόν. οὐκ ἐρρήσετ' ὦ μαστιγίαι; 1240
*to the-same not will-you-be-off O whipping-posts*
ΑΘΗΝΑΙΟΣ Β′ νὴ τὸν Δί' ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.
*by — Zeus since already at-least they-come from-inside*

ΛΑΚΩΝ ὦ Πολυχαρείδα λαβὲ τὰ φυσατήρια,
*O Polycharides take the bellows-pipes*
ἵν' ἐγὼ διποδιάξω τε κἀείσω καλὸν
*so-that I may-dance-the-two-step and and-sing fine*
ἐς τὼς Ἀσαναίως τε †καὶ ἐς ἡμᾶς ἅμα†.
*to the Athenians both and to us at-once*
ΑΘΗΝΑΙΟΣ λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν,
*take then the bellows-pipes by the gods*
ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.
*since I-am-pleased at-least you seeing dancing*
ΧΟΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ὄρμαον
*rouse*
τὼς κυρσανίως ὦ Μναμοῦνα
*the youths O Memory*
τάν τ' ἐμὰν Μῶαν, ἅτις
*the and my Muse who*
οἶδεν ἁμὲ τώς τ' Ἀσαναίως,
*knows us the and Athenians*
ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
*when they indeed at Artemisium*
πρῶκροον σιοείκελοι
*charged god-like*
ποττὰ κᾶλα τὼς Μήδως τ' ἐνίκων,
*against-the ships the Medes and conquered*
ἁμὲ δ' αὖ Λεωνίδας
*us and in-turn Leonidas*
ἆγεν ᾗπερ τὼς κάπρως
*led like the boars*
θάγοντας οἰῶ τὸν ὀδόντα·
*whetting I-think the tusk*

πολὺς δ’ ἀμφὶ τὰς γένυας ἀφρὸς †ἤνσει†,
*much and around the jaws foam blossomed*
πολὺς δ’ ἁμᾷ καττῶν σκελῶν ἀφρὸς ἵετο.
*much and at-once down-the legs foam was-shed*
ἦν γὰρ τῶνδρες οὐκ ἐλάσσως
*was for the-men not fewer*
τᾶς ψάμμας τοὶ Πέρσαι.
*than-the sand the Persians*
ἀγροτέρα σηροκτόνε
*wild-one beast-slayer*
μόλε δεῦρο παρσένε σιὰ
*come here maiden goddess*
ποττὰς σπονδάς,
*to-the truce*
ὡς συνέχῃς πολὺν ἁμὲ χρόνον.
*so-that you-may-hold-together long us time*
νῦν δ’ αὖ φιλία τ’ αἰὲς εὔπορος εἴη
*now and in-turn friendship and always well-provided may-be*
ταῖς συνθήκαις,
*with-the compacts*
καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων παυσαίμεθα.
*and of-the wily foxes may-we-cease*
ὦ δεῦρ’ ἴθι δεῦρ’ ὦ
*oh here come here O*
κυναγὲ παρσένε.
*huntress maiden*
ΑΘΗΝΑΙΟΣ ἄγε νυν ἐπειδὴ τἄλλα πεποίηται καλῶς,
*come now since the-rest has-been-done well*
ἀπάγεσθε ταύτας ὦ Λάκωνες, τάσδε τε
*lead-away these O Laconians these and*

ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
*you man and beside woman and woman*
στήτω παρ᾽ ἄνδρα, κᾆτ᾽ ἐπ᾽ ἀγαθαῖς συμφοραῖς
*let-stand beside man and-then on good fortunes*
ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα
*having-danced to-the-gods let-us-take-care*
τὸ λοιπὸν αὖθις μὴ ᾽ξαμαρτάνειν ἔτι.
*the in-future again not to-err still*
ΧΟΡΟΣ ΑΘΗΝΑΙΩΝ πρόσαγε χορόν, ἔπαγε δὲ Χάριτας,
*bring-on chorus lead-on and Graces*
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν,
*on and call Artemis*
ἐπὶ δὲ δίδυμον ἀγέχορον
*on and twin chorus-leader*
Ἰήιον
*Healer*
εὔφρον᾽, ἐπὶ δὲ Νύσιον,
*kindly on and Nysian*
ὃς μετὰ μαινάσι Βάκχιος ὄμμασι δαίεται,
*who with maenads Bacchic with-eyes blazes*
Δία τε πυρὶ φλεγόμενον, ἐπί τε
*Zeus and with-fire flaming on and*
πότνιαν ἄλοχον ὀλβίαν·
*lady wife blessed*
εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι
*then and gods whom as-witnesses*
χρησόμεθ᾽ οὐκ ἐπιλήσμοσιν
*we-shall-use not forgetful*
Ἡσυχίας πέρι τῆς ἀγανόφρονος,
*of-Quiet about the gentle-minded*

ἣν ἐποίησε θεὰ Κύπρις.
*whom made goddess Cypris*
ἀλαλαὶ ἰὴ παιήων·
*alalai ie paean*
αἴρεσθ' ἄνω ἰαί,
*lift-yourselves up iai*
ὡς ἐπὶ νίκῃ ἰαί.
*as for victory iai*
εὐοῖ εὐοῖ, εὐαί εὐαί.
*euoi euoi euai euai*
ΑΘΗΝΑΙΟΣ πρόφαινε δὴ σὺ Μοῦσαν ἐπὶ νέᾳ νέαν.
*show-forth now you Muse on new new*
ΧΟΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα
*Taygetus in-turn lovely having-left*
Μῶα μόλε Λάκαινα πρεπτὸν ἁμὶν
*Muse come Laconian fitting for-us*
κλέωα τὸν Ἀμύκλαις σιὸν
*celebrating the at-Amyclae god*
καὶ χαλκίοικον Ἀσάναν,
*and bronze-housed Athena*
Τυνδαρίδας τ' ἀγασώς,
*Tyndarids and noble*
τοὶ δὴ πὰρ Εὐρώταν ψιάδδοντι.
*who indeed by Eurotas sport*
εἶα μάλ' ἔμβη
*heave much step*
ὦ εἶα κοῦφα πάλλων,
*oh heave lightly leaping*
ὡς Σπάρταν ὑμνίωμες,
*so-that Sparta we-may-hymn*

τᾷ σιῶν χοροὶ μέλοντι
*for-whom of-gods choruses are-a-care*
καὶ ποδῶν κτύπος,
*and of-feet beat*
ᾇ τε πῶλοι ταὶ κόραι
*where and fillies the girls*
πὰρ τὸν Εὐρώταν
*by — Eurotas*
ἀμπάλλοντι πυκνὰ ποδοῖν
*leap thick with-feet*
ἀγκονίωαι,
*raising-dust*
ταὶ δὲ κόμαι σείονθ' ᾇπερ Βακχᾶν
*the and hair is-tossed as of-Bacchants*
θυρσαδδωᾶν καὶ παιδδωᾶν.
*thyrsus-waving and playing*
ἀγεῖται δ' ἁ Λήδας παῖς
*leads and the of-Leda child*
ἁγνὰ χοραγὸς εὐπρεπής.
*holy chorus-leader comely*
ἀλλ' ἄγε κόμαν παραμπύκιδδε χερί, ποδοῖν τε πάδη
*but come hair bind-up with-hand with-feet and leap*
ᾇ τις ἔλαφος· κρότον δ' ἁμᾷ ποίει χορωφελήταν.
*as some deer clapping and at-once make chorus-helping*
καὶ τὰν σιὰν δ' αὖ τὰν κρατίσταν
*and the goddess and in-turn the mightiest*
Χαλκίοικον ὕμνει τὰν πάμμαχον.
*Bronze-housed hymn the all-warring*

---